5. “σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; Τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν;”—Ἰωάν. Θ', 35 καὶ 36.
6. “καὶ ἐπίστευσαν εἰς τὸν Ἰησοῦν.”—Ἰωάν. ΙΒ', 11.
7. “ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με.”—Ἰωάν. ΙΒ', 44.
8. “πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε.”—Ἰωάν. ΙΔ', 1.
9. “πάντα τὸν πιστεύοντα εἰς αὐτόν.”—Πράξ. Ι', 43.
10. “παρέθεντο αὐτοὺς τῷ Κυρίῳ, εἰς ὃν πεπιστεύκεισαν.”—Πράξ. ΙΔ', 23.
11. “εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν εἰς τὸν Χριστὸν Ἰησοῦν.”—Πράξ. ΙΘ', 4.
12. “καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν.”—Παῦλος πρὸς Γαλ. Ι', 14.

Σπανιωτέρα δέ, ὡς ἄρτι ἔλεγον, ἡ μετὰ Δοτικῆς ἀπροθέτου σύνταξις τοῦ ῥήματος “πιστεύω”, περὶ τῆς εἰς Θεὸν πίστεως ὄντος τοῦ λόγου. Ἔστωσαν τῆς τοιαύτης συντάξεως τάδε τὰ παραδείγματα.—“ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι.”—Ἰωάν. ΣΤ', 30.—“πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους.”—Ἰωάν. Η', 31.

—"καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ."—Ματθ. ΚΖ', 42.—Τοιοῦτο καὶ τὸ ἐν τῇ τελετῇ τοῦ θείου μυστηρίου τοῦ βαπτίσματος.—Συντάσσῃ τῷ Χριστῷ; Συντάσσομαι.—Συνετάξω τῷ Χριστῷ; Συνεταξάμην. —Καὶ πιστεύεις αὐτῷ; Πιστεύω αὐτῷ ὡς βασιλεῖ καὶ Θεῷ ἡμῶν. Ἔνθα παρατηρητέον, ὅτι οὐδὲν ἄλλο ἀπαιτεῖται ὁμολογῆσαι ὁ βαπτιζόμενος ἢ τὴν εἰς Χριστὸν πίστιν, ἥτις ἐστὶ σύντομος ἔκφρασις τῆς εἰς τὴν ἁγίαν Τριάδα πίστεως· περὶ δὲ πίστεως εἰς τὴν Ἐκκλησίαν οὐδεμία γίνεται ἐρώτησις ἐν τῷ βαπτίσματι ἡμῶν, οἵα γίνεται ἔν τε τῇ Λατινικῇ καὶ ἐν τῇ τῶν Διαμαρτυρομένων Ἐκκλησίᾳ. Καὶ ὅμως ἐν τῇ πρὸ τοῦ σχίσματος ἐποχῇ πολλαχοῦ τῆς Δύσεως περὶ μόνης τῆς εἰς τὴν ἁγίαν Τριάδα πίστεως ἠρωτᾶτο ὁ βαπτιζόμενος· καὶ ὅπου δὲ ἠρωτᾶτο περὶ πάντων τῶν ἐν τῷ Συμβόλῳ περιεχομένων, ἡ πρόθεσις IN ἀφῃρεῖτο πάντοτε ἐν ταῖς περὶ πραγμάτων ἐρωτήσεσι, τιθεμένη μόνον πρὸ τῶν τριῶν προσώπων τῆς ἁγίας Τριάδος, οὑτωσί.—Credis *in* Deum Patrem omnipotentem...? Credo.—Credis et *in* Jesum Christum...? Credo.—Credis et *in* Spiritum sanctum; Sanctam Ecclesiam Catholicam; Sanctorum communionem, etc.? Credo.[12]

Κατὰ δὴ ταῦτα καὶ Γρηγόριος ὁ Θεολόγος ἐν τῇ ΛΖ' Ὁμιλίᾳ αὐτοῦ διαβεβαιοῖ λέγων περὶ τοῦ ἁγίου

---

[12] Charles A. Heurtley's *Harmonia Symbolica*, p. 106—116.

Πνεύματος· "Ἀλλ' εἰ μὲν κτίσμα, πῶς εἰς αὐτὸ
« πιστεύομεν, ἢ ἐν αὐτῷ τελειούμεθα; οὐ γὰρ ταὐτόν
« ἐστι πιστεύειν εἴς τι, καὶ περὶ αὐτοῦ πιστεύειν· τὸ
« μὲν γάρ ἐστι θεότητος, τὸ δὲ παντὸς πράγματος."
Οὕτω καὶ πρὸ τοῦ Θεολόγου ὁ κατὰ Φώτιον "πολυ-
μαθὴς ἅμα καὶ πολυπλανὴς" Ὠριγένης ἑρμηνεύων τὸ
τοῦ Εὐαγγελιστοῦ Ἰωάννου (ΙΓ', 20), "ὁ λαμβάνων
ἐάν τινα πέμψω ἐμὲ λαμβάνει," λέγει· "οὔτε δὲ εἴρη-
« ται, ὁ πιστεύων εἰς ὑμᾶς πιστεύει εἰς ἐμέ, οὔτε ὁ
« θεωρῶν ὑμᾶς θεωρεῖ ἐμέ· λαμβάνειν γὰρ ἡμᾶς βού-
« λεται τοὺς Ἀποστόλους ἑαυτοῦ, οὐ μὴν καὶ πιστεύειν
« εἰς αὐτούς." Συνῳδὰ δὲ τούτοις καὶ Θεοφύλακτος ὁ
Βουλγαρίας Ἀρχιεπίσκοπος, ἐν τῷ ἑρμηνεύειν τὸ τοῦ
Ἰωάννου (ΙΒ', 44), "ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει
εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με," ἐπάγει τήνδε τὴν
παρατήρησιν. "Ὅρα δὲ καὶ τὴν ἀκρίβειαν τοῦ λόγου.
« Οὐχ εἶπεν, ὁ πιστεύων ἐμοί, ἀλλ' ὁ πιστεύων εἰς ἐμέ·
« ὃ τὴν εἰς Θεὸν πίστιν δηλοῖ. Ἄλλο γὰρ
« τὸ πιστεύειν τινί, καὶ ἄλλο τὸ πιστεύειν εἴς τινα· ὁ
« μὲν γὰρ πιστεύων τινὶ δύναται νοηθῆναι ὅτι πιστεύει
« αὐτῷ ἀληθῆ λέγοντι, ὁ δὲ πιστεύων εἴς τινα ὡς εἰς
« Θεὸν πάντως πιστεύει. Διὸ πιστεύειν μὲν τοῖς Ἀπο-
« στόλοις εἴποι ἄν τις, πιστεύειν δὲ εἰς τοὺς Ἀποστό-
« λους οὐκέτι."[13] Τὴν διαφορὰν ταύτην τῆς τε συν-

---

[13] Suiceri *Thesaurus Ecclesiasticus*, ἐν λ. πιστεύω.

τάξεως καὶ τῆς ἐννοίας τοῦ "πιστεύω" προφανῶς ἐκφράζει καὶ ἡ καθ' ἡμᾶς συνήθης γλῶσσα· διότι βεβαίως ἄλλο νοοῦμεν λέγοντες, "πιστεύω, ὅτι εἶσαι πλούσιος", καὶ ἄλλο λέγοντες, "πιστεύω εἰς σὲ τὸν πλούσιον"· τὸ μὲν πρῶτον ἐκφράζει ἁπλῶς, ὅτι ἀκούσας περὶ σοῦ ὅτι εἶσαι πλούσιος, ἀποδέχομαι ὡς ἀληθὲς τὸ λεγόμενον· τὸ δὲ δεύτερον, ὅτι ἔχω τὴν ἐλπίδα μου εἰς σὲ τὸν πλούσιον.

Τί ἐστιν Ἐκκλησία;

Τούτων οὖν οὕτως ἐχόντων, ἐὰν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τῆς πίστεως παραλαμβάνωμεν ἀπὸ κοινοῦ τὸ ῥῆμα "πιστεύω", προφανῶς ἐκπίπτομεν εἰς κτισματολατρείαν, ὡς εἰς θεότητα ἀναβιβάζοντες τὴν Ἐκκλησίαν, ἥτις ἐστὶ κτίσμα. Τοιαύτην ἐκήρυξεν αὐτὴν αὐτὸς ὁ θεμελιωτὴς αὐτῆς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, μετὰ τὴν καλὴν ἐκείνην τοῦ Πέτρου ὁμολογίαν εἰπών· "Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ « πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύ« λαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς."[14] Τοιαύτην δὲ καὶ ἡμεῖς γινώσκοντες τὴν Ἐκκλησίαν, συνεχῶς ὑπὲρ τῆς στερεώσεως αὐτῆς δεόμεθα, ψάλλοντες· "Τὸ στερέωμα « τῶν ἐπὶ Σοὶ πεποιθότων, στερέωσον, Κύριε, τὴν « Ἐκκλησίαν, ἣν ἐκτήσω τῷ τιμίῳ Σου αἵματι." Ἄλλοτε δὲ πάλιν. "Ἡ δημιουργικὴ καὶ συνεκτικὴ τῶν « ἁπάντων Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ, ἀκρά-

---

[14] Ματθ. ΙΣΤ', 16 καὶ 18.

« δαντον, τὴν Ἐκκλησίαν στήριξον, Χριστέ· μόνος « γὰρ εἶ ἅγιος ὁ ἐν ἁγίοις ἀναπαυόμενος·" καὶ ἄλλα τοιαῦτα πολλά. Ἔν τινι δὲ τῶν εὐχῶν τῆς θείας Λειτουργίας ὁ ἱερουργῶν μετὰ τὸ μνημονεῦσαι τῶν κεκοιμημένων ἐπιλέγει μυστικῶς εὐχόμενος τάδε· «Ἔ-« τι προσφέρομέν Σοι τὴν λογικὴν ταύτην λατρείαν « ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολι-« κῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, ὑπὲρ « τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, « κ. τ. λ.", μετὰ τῶν ἄλλων κτισμάτων, ὑπὲρ ὧν εὔχεται, καὶ τὴν Ἐκκλησίαν ὡς κτίσμα καταλέγων. Ἀλλὰ τί λέγω τὴν μυστικὴν εὐχὴν τῶν ἱερέων; αὐτοὶ οἱ Σεβασμιώτατοι Ἐπίσκοποι, τὴν ἱερὰν τελοῦντες Μυσταγωγίαν, παρίστανται εἰς τὴν θύραν τοῦ ἱεροῦ βήματος ἐν τῷ ψάλλεσθαι τὸν Τρισάγιον ὕμνον, καὶ εἰς οὐρανὸν τὰς χεῖρας ἀνατείνοντες εὔχονται ὑπὲρ τῆς στερεώσεως καὶ καταρτίσεως τῆς θεοφυτεύτου ἀμπέλου, τῆς Ἐκκλησίας, ἐκφώνως τὴν ὡραίαν καὶ κατανυκτικὴν ἐκείνην δέησιν τρὶς ἐπαναλαμβάνοντες· "Κύριε, Κύριε, « ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν « ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν « ἡ δεξιά Σου." Ἐὰν μετὰ τοῦτο ζητήσωμεν ἐν ταῖς Κατηχήσεσι, ταῖς διδασκούσαις ἡμᾶς πιστεύειν εἰς τὴν Ἐκκλησίαν, τί ἐστιν Ἐκκλησία; ἐν πάσαις τὸν αὐτὸν εὑρήσομεν ὁρισμόν, ἔκ τε τῶν θείων Γραφῶν καὶ τῶν θεοφόρων Πατέρων συνειλεγμένον· ὅτι "Ἐκκλησία

« ἐστὶν ἐκ Θεοῦ διατεταγμένη ὁμήγυρις ἀνθρώ-
« πων, πρὸς ἀλλήλους ἡνωμένων διὰ τῆς ὀρθοδόξου
« πίστεως, διὰ τοῦ θείου Νόμου, τῆς ἱεραρχίας καὶ
« τῶν μυστηρίων." Ὀρθότερον δὲ ὁ μακαρίτης Οἰκο-
νόμος λέγει περὶ τούτου ἐν τῇ Κατηχήσει αὐτοῦ.
« Διὰ τῆς χάριτος καὶ ἐνεργείας τοῦ παναγίου Πνεύ-
« ματος ἐκήρυξαν οἱ Ἀπόστολοι τὴν ἀλήθειαν τοῦ
« Εὐαγγελίου, καὶ συνήθροισαν ἀπὸ ὅλα τὰ ἔθνη μίαν
« Ἐκκλησίαν. Αὕτη ἡ Ἐκκλησία κατὰ τὸ Θ' ἄρθρον
« τοῦ Συμβόλου τῆς πίστεως εἶναι μία, ἁγία, καθολι-
« κὴ καὶ Ἀποστολική."[15] Ἄριστα δὲ καὶ ὁ μακαρί-
της Διονύσιος ὁ Κλεώπας ἐν τῇ περὶ Ἐκκλησίας
ἀξιολόγῳ διατριβῇ αὐτοῦ ἐξέθηκε τὸν ὁρισμὸν τῆς
Ἐκκλησίας εἰπών· "Ἐκκλησία ἐστὶν ἄθροισμα
« ἀνθρώπων, μίαν καὶ τὴν αὐτὴν ὀρθόδοξον εἰς
« Χριστὸν πίστιν ὁμολογούντων, οἵτινες διὰ τῆς μετο-
« χῆς τῶν αὐτῶν μυστηρίων συνημμένοι ὑπάρχοντες,
« διατελοῦσιν ὑπὸ τὴν πνευματικὴν κυβέρνησιν νομί-
« μων ποιμένων, κεφαλὴν ἐχόντων αὐτὸν τὸν Χρι-
« στόν."[16] Ἀλλὰ καὶ ὁ ἀοίδιμος πατριάρχης Ἱεροσο-

---

[15] Κ. Οἰκονόμου Κατήχησις, §§ κή, κθ', λ'.

[16] Ἡ ἀξιόλογος αὕτη διατριβὴ τοῦ μακαρίτου Δ. Κλεώπα, καθηγητοῦ τῆς θεολογίας γενομένου ἐν τῷ ἡμετέρῳ πανεπιστημίῳ, ἐδημοσιεύθη ἐν τῷ Α' τόμῳ τοῦ Εὐαγγελικοῦ Κήρυκος (σελ. 394 κ. ἑξ.). Ἐκεῖ παρατίθενται πάντα τὰ χωρία τῆς Καινῆς Διαθήκης καὶ τῶν Πατέρων τῆς Ἐκκλησίας, ἐξ ὧν προκύπτει ὁ τοιοῦτος τῆς Ἐκκλησίας ὁρισμός, καὶ δι' ὧν ἀποδεικνύονται αἱ τέσσαρες αὐτῆς ἰδιότητες, ἡ ἑνότης, ἡ ἁγιότης, ἡ καθολικότης καὶ

λύμων Ἄνθιμος, ὁ τὴν ἀξιόλογον ἑρμηνείαν εἰς τοὺς ΡΝ΄ Ψαλμοὺς ἐκ τῶν Πατέρων τῆς Ἐκκλησίας συναγαγὼν καὶ συντάξας (ἧς τὴν ἔκδοσιν κατέλιπεν ἡμῖν, ἄριστον καὶ ἀγλαὸν τῆς ἑαυτοῦ φιλοπονίας καὶ πολυμαθείας μνημόσυνον, ὁ ἄρτι μνημονευθεὶς Διονύσιος ὁ Κλεώπας), ἑρμηνεύων τὸ ἐν ΜΔ΄ Ψαλμῷ "παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου", σημειοῦται τὰ ἑξῆς. « Βασίλισσαν λέγει τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ἥτις « ἐστὶ τὸ ἄθροισμα τῶν ἐξ ἐθνῶν πιστῶν. Αὕτη πρό« τερον μὲν ἦν ταπεινὴ καὶ χαμερπής, νῦν δὲ διὰ τῆς « πίστεως ἠξίωται ἑστάναι ἐκ δεξιῶν τοῦ Θεοῦ, τουτ« έστιν ἐν παρουσίᾳ τιμῆς αἰνεῖν τε καὶ δοξολογεῖν τὸν « Θεὸν μετὰ τῶν ἀγγέλων ἐν τοῖς οὐρανοῖς... Καὶ « ὁ μὲν Υἱὸς καθεζόμενός ἐστιν ἐκ δεξιῶν τοῦ Πατρός, « ὡς ὁμοούσιος αὐτῷ κατὰ τὴν θεότητα· ἡ δὲ Ἐκκλη« σία, καίτοι ὑψωθεῖσα καὶ δοξασθεῖσα, ἀνθρωπίνη μέν« τοι οὖσα καὶ ΚΤΙΣΤΗ, οὐ κάθηται, ἀλλ' ἵσταται « ὀρθία δουλοπρεπῶς." Ταῦτα δὲ ὁ ἀοίδιμος πατριάρχης Ἄνθιμος ἐξ Εὐθυμίου τοῦ Ζιγαβηνοῦ ἐρανίζεται, ὡς φαίνεται, τὸν αὐτὸν τρόπον ἑρμηνεύοντος τὸ « παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου." Λέγει δὲ ὁ Ζιγαβηνός· "Καὶ ὁ μὲν νυμφίος κάθηται ἐν δεξιᾷ τοῦ

ἡ Ἀποστολικότης. Τὸν αὐτὸν τοῦτον ὁρισμὸν τῆς Ἐκκλησίας, ὡς πληρέστερον πάντως καὶ ἀκριβέστερον, ἀπεδέξατο καὶ ὁ εὐτυχῶς ἐπιζῶν σοφὸς καὶ σεβάσμιος καθηγητὴς τῆς θεολογίας Κύριος Κ. Κοντογόνης ἐν τῇ Ἐκκλησιαστικῇ αὐτοῦ Ἱστορίᾳ, ἧς ἴδε τὴν Εἰσαγωγήν (εὐθὺς ἐν ἀρχῇ).

« Πατρός, ὡς ὁμοούσιος καὶ ὁμότιμος· αὕτη δὲ παρέ-
« στηκεν ἐκ δεξιῶν τοῦ νυμφίου μετὰ τῶν ἀσωμάτων
« Δυνάμεων. Εἰ γὰρ καὶ νύμφη ἐστὶ καὶ βασίλισσα,
« ἀλλὰ κτιστῆς ἐστι φύσεως, καὶ ὑπέρμεγα
« ταύτῃ τὸ καὶ τοιαύτης ἀξιωθῆναι στάσεώς τε καὶ
« παραστάσεως." Ὁ αὐτὸς δὲ Ζιγαβηνὸς ἑρμηνεύων
ἐν τῷ ἀμέσως ἑπομένῳ Ψαλμῷ τὸ "τοῦ ποταμοῦ τὰ
ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ", λέγει·
« ποταμὸς μὲν ὁ Χριστός... ὁρμήματα δὲ αὐτοῦ οἱ
« θεῖοι Ἀπόστολοι... πόλις δὲ τοῦ Θεοῦ τὸ σύστημα
« τῶν πιστῶν, ἡ τῶν Χριστιανῶν Ἐκκλησία." Ἀλλὰ
τί ζητοῦμεν Κατηχήσεις καὶ ἑρμηνευτάς, ὅπως μάθω-
μεν ἀκριβῶς, τί ἐστιν Ἐκκλησία; Ἀκούσωμεν τοῦ
μεγάλου Κυρίλλου (τὸν Ἀλεξανδρείας λέγω πατριάρ-
χην) ἐν δέκα λέξεσι πληρέστατον διδόντος ἡμῖν τὸν
ὁρισμὸν τῆς Ἐκκλησίας ἐν τοῖς Γλαφυροῖς αὐτοῦ·
« "Ἐκκλησίαν ὅταν ἀκούσῃς, τὴν τῶν πιστευόντων
« ἁγίαν πληθὺν ἴσθι λέγειν."

Οὐ πιστευτέον εἰς τὴν Ἐκκλησίαν, ἥτις ἐστὶ κτίσμα, καὶ ἄθροισμα ἀνθρώπων.

Ὅπου λοιπὸν κατὰ τὰ πρὸ μικροῦ ὑπὸ Γρηγορίου
τοῦ Θεολόγου, Ὠριγένους καὶ Θεοφυλάκτου, εἰρημένα
ἁμαρτάνομεν καὶ κτισματολατροῦμεν, ἐὰν ὁμολογῶ-
μεν, ὅτι πιστεύομεν εἰς τοὺς Ἀποστόλους, αὐτοὺς
τοὺς ἀμέσους μαθητὰς τοῦ Χριστοῦ, τοὺς τὴν Ἐκκλη-
σίαν συναθροίσαντας, πόσῳ μᾶλλον ἁμαρτάνομεν, καὶ
πόσῳ μᾶλλον κτισματολατροῦμεν, ὁμολογοῦντες ὅτι
πιστεύομεν εἰς τὴν Ἐκκλησίαν, τὴν ἀνθρωπίνην

καὶ κτιστὴν, τὴν ὁμήγυριν τῶν ἀνθρώπων, τὸ ἄθροισμα τῶν ἀνθρώπων, ὃν τρόπον ὁμολογοῦμεν ὅτι πιστεύομεν εἰς τὴν ἁγίαν καὶ ζωοποιὸν Τριάδα; "Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον," λέγει ὁ προφητάναξ Δαβὶδ ἐν Ψαλμῷ ΡΙΖ'· ὁ δὲ προφήτης Ἱερεμίας (κεφ. ΙΖ', 5—10) δεινὴν ἐξεφώνησεν ἀρὰν κατὰ τῶν εἰς ἄνθρωπον ἐλπιζόντων, καὶ μὴ εἰς τὸν Κύριον. "Ἐπικατάρατος (λέγει) ὁ « ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ « στηρίζει σάρκα βραχίονος αὐτοῦ ἐπ' αὐτόν, καὶ ἀπὸ « Κυρίου ἀποστῇ ἡ καρδία αὐτοῦ... Καὶ εὐλογημένος « ὁ ἄνθρωπος, ὃς πέποιθεν ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται « Κύριος ἐλπὶς αὐτοῦ." Ἐὰν δὲ ταῦτα οὕτως ἔχῃ (ἀδύνατον δὲ ἄλλως ἔχειν), πῶς δυνάμεθα εὐλόγως καὶ εὐσεβῶς εἰπεῖν, εἰ μὴ παντάπασιν αἱ φρένες ἡμῶν μετακεκίνηνται, ὅτι οἱ τὸ Σύμβολον τῆς πίστεως συντάξαντες θεοφόροι Πατέρες, οἱ τῇ ἐπιφοιτήσει τοῦ παναγίου Πνεύματος τὰ τῆς Ἐκκλησίας ἡμῶν διακοσμήσαντες, διδάσκουσιν ἡμᾶς ὁμολογεῖν, ὅτι πιστεύομεν καὶ εἰς τὴν Ἐκκλησίαν, τὴν ὁμήγυριν τῶν ἀνθρώπων, τὸ ἄθροισμα τῶν ἀνθρώπων;

Ἐκ τούτων ἀριδήλως συνάγεται, ὅτι γραμματικῶς οὐκ ἔξεστιν ἐννοῆσαι πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω", ἅτε τῆς τοιαύτης ἀναπληρώσεως μαχομένης πρός τε τὴν κοινὴν σύνταξιν, καθ' ἣν ἀπαιτεῖται ὁ σύνδεσμος ΚΑΙ, καὶ πρὸς

τὴν ἐν τῇ Καινῇ Διαθήκῃ συνήθη καὶ σταθερὰν σύνταξιν τοῦ ῥήματος τούτου, ὅταν δι' αὐτοῦ ἐκφράζηται πίστις εἰς ἄνθρωπον ἢ ἄλλο τι κτίσμα. Τούτου δὲ ὁμολογουμένου ὄντος, ποῦ λοιπὸν ἀποδοθήσεται ὁ ἐμπρόθετος προσδιορισμὸς "εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν"; ποῦ, εἰ μὴ εἰς τὴν ἀμέσως ἡγουμένην Μετοχὴν "λαλῆσαν"; Εἰπάτωσαν οἱ δεινοί μου κατήγοροι, οἱ τοσαῦτά μου καταφλυαρήσαντες, καὶ μάλιστα ὁ Σεβασμιώτατος Ἀρχιεπίσκοπος Σύρου καὶ Τήνου, ὁ δημοσίᾳ καὶ ἐν πάσῃ αὐτοῦ τῇ θεολογικῇ βαρύτητι ἀποφηνάμενος, ὅτι ἐκ τοιαύτης ἐπιμονῆς (οἷα δηλονότι ἡ ἐμή) ἐγεννήθησαν ἐν τῇ Ἐκκλησίᾳ αἱ αἱρέσεις.

Ἐκκλησιαστικὴ τοῦ πράγματος ἐξέτασις κατὰ τὰς διατάξεις τῶν Οἰκουμεν. Συνόδων καὶ τὰ συγγράμματα τῶν Πατέρων τῆς Ἐκκλησίας.

Μετὰ τὴν γραμματικὴν ταύτην ἐξέτασιν τοῦ ζητουμένου, Εἰ πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου ἐννοητέον ἐστὶ τὸ ῥῆμα «πιστεύω», ἐξετάσωμεν αὐτὸ καὶ ἐν αὐτοῖς τοῖς λόγοις τῶν τὸ Σύμβολον συνταξάντων Πατέρων, καὶ τῶν μετ' ἐκείνους ἑρμηνευσάντων καὶ διδαξάντων αὐτό, ὅπως ἴδωμεν, εἴ που τῶν Συνοδικῶν ἀποφάσεων ἢ τῶν συγγραμμάτων τῶν μεγάλων τῆς Ἐκκλησίας Πατέρων καὶ διδασκάλων παραδέδοται ἡμῖν τὸ πιστεύειν εἰς τὴν Ἐκκλησίαν, ὡς αἱ ἡμέτεραι Κατηχήσεις διδάσκουσι, καί τινες τῶν ἡμετέρων θεολόγων δημοσίᾳ καί, τὸ δὴ λεγόμενον, γυμνῇ τῇ κεφαλῇ διϊσχυρίζονται.

Α΄ οἰκουμεν. Σύνοδος ἐν Νικαίᾳ, τὸ 325 συνελθοῦσα ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου.

ΠΡΩΤΟΝ.—Ἡ ἐν Νικαίᾳ Α΄ οἰκουμενικὴ Σύνοδος, ἡ πρώτη τὸ Σύμβολον τῆς πίστεως συντάξασα, μετὰ πολλὰς ἀμφισβητήσεις καὶ συζητήσεις, πάντα τὰ κατὰ τόπους προϋπάρχοντα Σύμβολα (περὶ ὧν ἐφεξῆς εἰρήσεται τὰ προσήκοντα) ὑπ' ὄψιν ἔχουσα, οὐδὲν τούτων ἐνόμισεν ἐπαρκοῦν εἰς πλήρη ὁμολογίαν τῆς ὀρθοδόξου πίστεως καὶ καταστροφὴν τῆς τοῦ Ἀρείου αἱρέσεως· ἀλλ' ἴδιον συντάξασα ὅρον πίστεως, ἢ κανόνα πίστεως, παρέδωκε πᾶσι τοῖς εἰς Χριστὸν πιστεύουσιν ὀρθοδοξίας σύμβολον. Ἐπειδὴ δὲ κύριος τῆς Συνόδου ἐκείνης σκοπὸς ἦν τὸ καταβαλεῖν τὴν τότε συνταράττουσαν καὶ λυμαινομένην τὴν Ἐκκλησίαν αἵρεσιν τοῦ Ἀρείου, ἀσεβῶς διδάσκοντος περὶ τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ, ὅτι οὐκ ἦν συνάναρχος καὶ ὁμοούσιος τῷ Πατρί (« ἦν, ὅτε οὐκ ἦν »), διὰ τοῦτο μόνας τὰς τοῦ Υἱοῦ ἰδιότητας ἐκτενῶς καὶ σαφῶς ἐκ τῶν θείων Γραφῶν ὁρίσασα, κατέληξε τὸ Σύμβολον ἐν ταῖς λέξεσι "καὶ εἰς τὸ ἅγιον Πνεῦμα", προσθεῖσα ἐν τέλει τὸ κατὰ τῶν Ἀρειανῶν ἀνάθεμα. Ἰδοὺ τὸ Σύμβολον τοῦτο, οἷον ἐξετέθη ὑπὸ τῆς μεγάλης ἐκείνης Συνόδου.

« Πιστεύομεν εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα,
« πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν. Καὶ εἰς
« ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ, γεν-
« νηθέντα ἐκ τοῦ Πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς
« οὐσίας τοῦ Πατρός, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός,
« Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ

« ποιηθέντα, ὁμοούσιον τῷ Πατρί· δι' οὗ τὰ πάντα ἐγέ-
« νετο, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς
« τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατ-
« ελθόντα, καὶ σαρκωθέντα, καὶ ἐνανθρωπήσαντα, πα-
« θόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς
« τοὺς οὐρανούς, καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νε-
« κρούς. Καὶ εἰς τὸ ἅγιον Πνεῦμα.—Τοὺς δὲ λέγον-
« τας, ὅτι ἦν ποτε, ὅτε οὐκ ἦν, καί, πρὶν γεννηθῆναι,
« οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας
« ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ κτιστόν, ἢ
« τρεπτόν, ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, ἀναθεμα-
« τίζει ἡ καθολικὴ Ἐκκλησία".[17]

Ἐν τῷ Συμβόλῳ τούτῳ ἀριδήλως παραδέδοται πᾶσι τοῖς Χριστιανοῖς πιστεύειν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα· περὶ δὲ Ἐκκλησίας οὐδεὶς γίνεται λόγος οὔτε ἐν αὐτῷ τῷ Συμβόλῳ, οὔτε ἐν ταῖς πράξεσι τῆς Συνόδου, οὔτε ἐν τοῖς συγγράμμασι τῶν ὀρθοδόξων Πατέρων καὶ ποιμένων τῆς Ἐκκλησίας, ὅσοι ἤκμασαν καὶ συνέγραψαν ἀπὸ τοῦ ἔτους 325, ὅτε συνῆλθεν ἡ Α' ἐν Νικαίᾳ Σύνοδος, μέχρι τοῦ 381, ὅτε ἡ ἐν Κωνσταντινουπόλει συνελθοῦσα δευτέρα Σύνοδος συνεπλήρωσε τὸ Σύμβολον τοῦτο, καὶ παρέδωκεν αὐτὸ τῇ Ἐκκλησίᾳ, οἷον μέχρι νῦν ὑπάρχει καὶ ἀναγινώσκεται.

---

[17] Ἀντιγράφω τὸ Σύμβολον τοῦτο ἐκ τῆς Ἐκκλησ. Ἱστορίας τοῦ Κυρίου Κ. Κοντογόνου, τόμ. Α'. σελ. 509—510.

Ὁ Ἄρειος καὶ τὸ Σύμβολον αὐτοῦ.

Μόνος ὁ Ἄρειος, οὗ τὰ συγγράμματα ἐπυρπολήθησαν κατ' αὐστηρὰν διαταγὴν τοῦ αὐτοκράτορος Κωνσταντίνου τοῦ μεγάλου, θάνατον ἀπειλήσαντος κατὰ τοῦ τολμήσοντος ἀποκρύψαι τι ἐξ αὐτῶν,[18] καὶ ὃς καθαιρεθεὶς καὶ ἀφορισθεὶς τῆς Ἐκκλησίας κατεδικάσθη εἰς ἐξορίαν, ὅτε ἀνεκλήθη εἰς Κωνσταντινούπολιν ἐκ διαταγῆς τοῦ δολίως ἐξαπατηθέντος αὐτοκράτορος ὑπό τινος τῶν Ἀρειανῶν,[19] καὶ ἐπέδωκεν αὐτῷ ἔγγραφον ὁμολογίαν πίστεως, ὡς δῆθεν μετανοήσας καὶ ἐξαιτούμενος τήν τε τοῦ αὐτοκράτορος συγχώρησιν καὶ τὴν εἰς τὴν Ἐκκλησίαν ἐπάνοδον μετὰ τῶν ὁμοδόξων αὐτῷ, μόνος οὗτος προσέθηκεν ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως αὐτοῦ, ὅτι πιστεύει "ΚΑΙ εἰς μίαν καθολικὴν Ἐκκλησίαν τοῦ Θεοῦ, τὴν ἀπὸ περάτων ἕως περάτων". Ἰδοὺ ἡ ἔγγραφος αὕτη ὁμολογία τῶν περὶ Ἄρειον, οἵα διετηρήθη ὑπὸ τῶν ἱστορικῶν Σωκράτους (Α', 26) καὶ Ἑρμείου Σωζομένου (Β', 27).[20]—"Τῷ εὐλαβεστάτῳ « καὶ θεοφιλεστάτῳ δεσπότῃ ἡμῶν βασιλεῖ Κωνσταν-« τίνῳ, Ἄρειος καὶ Εὐζώϊος. Καθὼς προσέταξεν ἡ « θεοφιλής σου εὐσέβεια, δέσποτα βασιλεῦ, ἐκτιθέμεθα « τὴν ἑαυτῶν πίστιν, καὶ ἐγγράφως ὁμολογοῦμεν ἐπὶ

---

[18] Ἴδε τὸ διάταγμα τοῦτο τοῦ Κωνσταντίνου ἐν τῇ Σωκράτους Ἐκκλησιαστικῇ ἱστορίᾳ Α', θ'. καὶ ἐν τῇ τοῦ Κυρίου Κ. Κοντογόνου, τόμ. Α', σελ. 510—511.

[19] Ἴδε Κ. Κοντογόνου Ἱστορίαν, τόμ Α', σελ. 511—513.

[20] Ἴδε ταύτην καὶ ἐν τῇ Ἱστορίᾳ τοῦ Κυρίου Κοντογόνου (ἔνθ ἀνωτ.).

« Θεοῦ οὕτω πιστεύειν καὶ αὐτοὶ καὶ οἱ σὺν ἡμῖν, ὡς
« ὑποτέτακται. Πιστεύομεν εἰς ἕνα Θεόν, Πατέρα
« παντοκράτορα· καὶ εἰς Κύριον Ἰησοῦν Χριστόν, τὸν
« Υἱὸν αὐτοῦ, τὸν ἐξ αὐτοῦ πρὸ πάντων τῶν αἰώνων
« γεγεννημένον Θεὸν Λόγον, δι' οὗ τὰ πάντα ἐγένετο,
« τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς· τὸν κατελ-
« θόντα, καὶ σαρκωθέντα, καὶ παθόντα, καὶ ἀναστάντα,
« καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ πάλιν ἐρχόμε-
« νον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον Πνεῦ-
« μα· καὶ εἰς σαρκὸς ἀνάστασιν· καὶ εἰς ζωὴν τοῦ μέλ-
« λοντος αἰῶνος· καὶ εἰς βασιλείαν τῶν οὐρανῶν· καὶ
« εἰς μίαν καθολικὴν Ἐκκλησίαν τοῦ Θεοῦ, τὴν ἀπὸ πε-
« ράτων ἕως περάτων.—Ταύτην δὲ τὴν πίστιν παρειλή-
« φαμεν ἐκ τῶν ἁγίων Εὐαγγελίων, λέγοντος τοῦ Κυ-
« ρίου τοῖς ἑαυτοῦ μαθηταῖς· πορευθέντες μαθητεύσατε
« πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ
« Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Εἰ
« μὴ ταῦτα οὕτω πιστεύομεν καὶ ἀποδεχόμεθα ἀληθῶς,
« Πατέρα, Υἱὸν καὶ Πνεῦμα ἅγιον, ὡς πᾶσα καθολικὴ
« Ἐκκλησία καὶ αἱ Γραφαὶ διδάσκουσιν, αἷς κατὰ πάν-
« τα πιστεύομεν, κριτὴς ἡμῶν ἐστιν ὁ Θεός, καὶ νῦν,
« καὶ ἐν τῇ μελλούσῃ κρίσει. Διὸ παρακαλοῦμέν σου
« τὴν θεοσέβειαν, θεοφιλέστατε βασιλεῦ, ἐκκλησιαστι-
« κοὺς ἡμᾶς ὄντας, καὶ τὴν πίστιν καὶ τὸ φρόνημα τῆς
« Ἐκκλησίας καὶ τῶν ἁγίων Γραφῶν ἔχοντας, ἑνοῦ-
« σθαι ἡμᾶς διὰ τῆς εἰρηνοποιοῦ σου καὶ θεοσεβοῦς εὐ-

« σεβείας τῇ μητρὶ ἡμῶν, τῇ Ἐκκλησίᾳ δηλαδή, περι-
« ῃρημένων τῶν ζητημάτων καὶ περισσολογιῶν· ἵνα
« καὶ ἡμεῖς καὶ ἡ Ἐκκλησία, μετ' ἀλλήλων εἰρηνεύον-
« τες τὰς συνήθεις εὐχὰς ὑπὲρ τῆς εἰρηνικῆς σου βα-
« σιλείας καὶ παντὸς τοῦ γένους σου κοινῇ πάντες ποι-
« ησώμεθα. »[21] Οὕτως οἱ περὶ Ἄρειον ἐξαπατήσαντες τὸν αὐτοκράτορα, καὶ συγχωρήσεως τυχόντες παρ' αὐτοῦ, ἐπανῆλθον εἰς τοὺς οἰκείους Ἐπισκοπικοὺς θρόνους, καὶ καταδιώξαντες παντοιοτρόπως τοὺς ὀρθοδόξους Ἐπισκόπους, μάλιστα δὲ πάντων τὸν μέγαν καὶ πολύαθλον τῆς ὀρθοδοξίας πρόμαχον Ἀθανάσιον, καὶ συνόδους συγκαλέσαντες πρὸς μεταβολὴν τοῦ Συμβόλου τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ πολλὰ τοιαῦτα βίαια

---

[21] Παρατηρητέον ἐν τῷ Συμβόλῳ τούτῳ τοῦ Ἀρείου, πρῶτον μέν, ὅτι ἀποφεύγει ὀνομάσαι τὸν Υἱὸν ὁ μ ο ο ύ σ ι ο ν τῷ Πατρί, ὅπερ, ὡς γνωστόν, ἦν τὸ μέγιστον καὶ σπουδαιότατον ζήτημα ἐν τῇ Συνόδῳ τῇ ἐν Νικαίᾳ· δεύτερον δέ, ὅτι παρὰ τὰ ἐν τῇ Συνόδῳ δογματισθέντα εἰς ἓν καὶ τὸ αὐτὸ συμφύρονται τό τε ἅγιον Πνεῦμα καὶ ἡ ἀνάστασις τῶν νεκρῶν καὶ ἡ ζωὴ τοῦ μέλλοντος αἰῶνος καὶ ἡ βασιλεία τῶν οὐρανῶν καὶ ἡ Ἐκκλησία. Ὑπέλαβόν τινες τῶν νεωτέρων θεολόγων, ὅτι τὸ ὑπὸ τοῦ Ἀρείου ἐκτεθὲν τοῦτο Σύμβολον ἦν τὸ τῆς ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίας· ἀλλὰ τοῦτο οὐκ ἔστιν ὀρθόν· διότι ἔχομεν παρὰ τοῦ Ἀθανασίου τὴν ἀληθῆ τῆς πίστεως ὁμολογίαν, ὡς ἐφεξῆς ὀψόμεθα, καὶ ἐν ταύτῃ ἀνευρίσκομεν τὸ ἀληθὲς τῆς ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίας Σύμβολον, οὐχὶ δὲ ἐν τῇ ὁμολογίᾳ τοῦ Ἀρείου, ἥτις ἐστὶν ἰδία αὐτοῦ κατὰ τὴν ἰδίαν αὐτοῦ αἵρεσιν ἐκτεθειμένη. Καὶ ὅμως διὰ τῆς διεστραμμένης ταύτης ὁμολογίας κατώρθωσεν ὁ Ἄρειος ἐξαπατῆσαι τὸν αὐτοκράτορα, καὶ συγχωρήσεως τυχεῖν, συνεργήσαντος αὐτῷ πρὸς τοῦτο μοναχοῦ τινος φίλου καὶ ὁμόφρονος αὐτῷ, ὃν ὁ αὐτοκράτωρ ηὐνόει κατὰ σύστασιν τῆς ἀποθανούσης ἀδελφῆς αὐτοῦ. Ἀλλ' οὐδ' οὕτως ἀπεδέξαντο τὸν Ἄρειον οὔτε ὁ Ἀθανάσιος οὔτε ὁ Κωνσταντινουπόλεως

καὶ παράνομα πράξαντες, κατελυμήναντο καὶ κατετάραξαν τὴν Ἐκκλησίαν ἐπὶ πολλὰ ἔτη, ἕως διὰ τῆς ἀκαταβλήτου καρτερίας τῶν ὀρθοδόξων Ἐπισκόπων κατεβλήθη τέλεον καὶ ἐξεκόπη ἡ ἀντίχριστος αὐτῶν αἵρεσις. Καὶ ταῦτα μὲν περὶ τῆς ἐν Νικαίᾳ συνελθούσης Α′ οἰκουμενικῆς Συνόδου καὶ τοῦ ὑπ' αὐτῆς συντεταγμένου θείου καὶ ἱεροῦ Συμβόλου, ὑφ' οὗ σαφῶς διδασκόμεθα πιστεύειν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον· οὐδὲν τούτου πλέον, οὐδὲν τούτου ἔλαττον. Πρὶν δὲ καὶ τὰ ὑπὸ τῶν ἄλλων οἰκουμενικῶν Συνόδων δογματισθέντα περὶ πίστεως ἐξετάσωμεν, ἀναγκαῖόν ἐστι καὶ τῆς διδασκαλίας ἀκοῦσαι τῶν τῆς Ἐκκλησίας Πατέρων, ὅσοι τῆς Συνόδου ἐκείνης μετέσχον, ἢ ἤκμασαν μετ' ἐκείνην, ὅπως ἴδωμεν, πῶς ἑρμηνεύουσι πάντες τὸ ὑπ' ἐκείνης παραδοθὲν Σύμβολον, καὶ εἴ τις ἐξ αὐτῶν, καὶ τίς, προσέθηκεν ἐν τῇ διδασκαλίᾳ τῆς πίστεως τὸ πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν.

Ἀλέξανδρος, ἅτε καλῶς γινώσκοντες, ὅτι διέμενεν αἱρετικός· ὁ πρῶτος μάλιστα οὐδ' εἰς τὴν Ἀλεξάνδρειαν εἰσελθεῖν ἐπέτρεψεν αὐτῷ· καὶ ἀπειλήσαντος δὲ αὐτὸν τοῦ αὐτοκράτορος, καὶ ἐξορίσαντος ἔπειτα, οὐδαμῶς ὑπεχώρησε τῇ βίᾳ, ἀλλὰ καὶ τὴν ἐξορίαν καὶ τοὺς τῶν Ἀρειανῶν πολυετεῖς καὶ παντοίους διωγμοὺς ὑπέμεινε καρτερικώτατα μετὰ τῶν ἄλλων ὀρθοδόξων Ἐπισκόπων ὑπὲρ τῆς ὀρθοδοξίας.—Ἴδε Κ. Κοντογόνου Ἐκκλ. Ἱστορ. (ἔνθ. ἀνωτ.). Διὰ μακρῶν δὲ περί τε τοῦ Ἀρείου καὶ τῆς αἱρέσεως αὐτοῦ, ὡς καὶ περὶ Ἀθανασίου καὶ τῶν διωγμῶν αὐτοῦ, ἐπραγματεύσατο καὶ ὁ Κύριος Κ. Παπαῤῥηγόπουλος ἐν τῷ Β′ τόμῳ τῆς Ἱστορίας τοῦ Ἑλληνικοῦ ἔθνους, ἔνθα ἴδε σελ. 565 κ. ἑξ.

Διδασκαλία τῶν ἀπὸ τῆς Α΄ μέχρι τῆς Β΄ οἰκουμεν. Συνόδου ἀκμασάντων Πατέρων.

Ἀθανάσιος ὁ μέγςα.

ΔΕΥΤΕΡΟΝ.—Μετὰ τὴν διάλυσιν τῆς πρώτης καὶ μεγάλης ἐκείνης Συνόδου, πάντες οἱ μετασχόντες αὐτῆς καὶ οἱ ἐκείνους διαδεξάμενοι ὀρθόδοξοι Πατέρες, οἱ τὴν Ἐκκλησίαν κυβερνήσαντες μέχρι τοῦ ἔτους 381, ἐν ᾧ συνῆλθεν ἐν Κωνσταντινουπόλει ἡ Β΄ οἰκουμενικὴ Σύνοδος, τοῦτο μόνον τῆς ἐν Νικαίᾳ Συνόδου τὸ Σύμβολον καὶ ἀπεδέχοντο καὶ ἐδίδασκον, ταύτην κηρύττοντες καὶ κρατύνοντες τὴν πίστιν, τὴν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα· οὐδὲν τούτου πλέον, οὐδὲν τούτου ἔλαττον. Ἀκούσωμεν τοίνυν τῆς διδασκαλίας αὐτῶν, ἀρχόμενοι ἀπὸ τοῦ ὡς ἀληθῶς μεγάλου Ἀθανασίου, ὃς καὶ ἐν τῇ Συνόδῳ καὶ μετὰ τὴν Σύνοδον στεῤῥῶς ὑπὲρ τῆς ὀρθοδοξίας ἠγωνίσατο, καὶ πολλοὺς ὑπὲρ αὐτῆς ὑπέστη διωγμοὺς ὑπὸ τῶν Ἀρειανῶν ἐν ὅλοις πεντήκοντα σχεδὸν ἔτεσιν, ἀπὸ τοῦ 325, ὅτε κατὰ πρῶτον ἀντέκρουσε τὴν τοῦ Ἀρείου αἵρεσιν, παρὼν ἐν τῇ Συνόδῳ ὡς Διάκονος τοῦ τῆς Ἀλεξανδρείας Ἐπισκόπου Ἀλεξάνδρου, μέχρι τοῦ 373, ὅτε ἀπεδήμησε πρὸς Κύριον. Λέγει λοιπὸν ὁ θεῖος οὗτος Πατὴρ ἐν τῇ πρὸς Σεραπίωνα τὸν Θμούεως Ἐπίσκοπον ἐπιστολῇ αὐτοῦ (§ 28) τάδε. « Ἴδωμεν δὲ ὅμως καὶ « πρὸς τούτοις καὶ αὐτὴν τὴν ἐξ ἀρχῆς παράδοσιν καὶ « διδασκαλίαν καὶ πίστιν τῆς καθολικῆς Ἐκκλησίας, « ἣν ὁ μὲν Κύριος ἔδωκεν, οἱ δὲ Ἀπόστολοι ἐκήρυξαν, « καὶ οἱ Πατέρες ἐφύλαξαν..... Τριὰς τοίνυν ἁγία καὶ « τελεία ἐστίν, ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι

« θεολογουμένη... Καὶ οὔτε ἔλαττον τούτων φρο-
« νεῖ ἡ καθολικὴ Ἐκκλησία, ἵνα μὴ εἰς τοὺς νῦν κατὰ
« Καϊάφαν Ἰουδαίους καὶ εἰς Σαβέλλιον ἐμπέσῃ, οὔτε
« πλεῖον ἐπινοεῖ, ἵνα μὴ εἰς τὴν Ἑλλήνων πολυθείαν
« κυλισθῇ. Καὶ ὅτι αὕτη ἡ πίστις τῆς Ἐκκλησίας ἐστί,
« μαθέτωσαν, πῶς ὁ μὲν Κύριος ἀποστέλλων τοὺς Ἀ-
« ποστόλους παρήγγειλε τοῦτον θεμέλιον τιθέναι τῇ
« Ἐκκλησίᾳ λέγων — Πορευθέντες μαθητεύ-
« σατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐ-
« τοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ
« Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος·—οἱ δὲ Ἀ-
« πόστολοι πορευθέντες οὕτως ἐδίδαξαν· καὶ τοῦτό ἐστιν
« εἰς πᾶσαν τὴν ὑπ' οὐρανὸν Ἐκκλησίαν τὸ κήρυγμα. »
Καὶ ἐν τῇ ἑτέρᾳ δὲ αὐτοῦ ἐπιστολῇ πρὸς τὸν αὐτὸν Ἐπίσκοπον Θμούεως (§ 6) τοῦτ' αὐτὸ ἐπαναλαμβάνει λέγων· « Αὕτη τῆς καθολικῆς Ἐκκλησίας ἡ πίστις· ἐν
« Τριάδι γὰρ αὐτὴν ἐθεμελίωσε καὶ ἐῤῥίζωσεν ὁ Κύ-
« ριος, εἰρηκὼς τοῖς μαθηταῖς—πορευθέντες μα-
« θητεύσατε πάντα τὰ ἔθνη κ. τ. λ. »—Ἐν δὲ τῷ πρὸς Ἀντιοχεῖς τόμῳ, ὃς ἐγράφη ὑπὸ τῆς ἐν Ἀλεξανδρείᾳ Συνόδου, αὐτοῦ προεξάρχοντος τοῦ Ἀθανασίου, μετὰ τὸν θάνατον τοῦ μεγάλου Κωνσταντίνου,[22] τάδε περὶ τούτου (ἐν § γ') λέγονται· « Μηδὲν πλέον

---

[22] Ἴδε τὸν βίον τοῦ Ἀθανασίου ἐν τῇ Πατρολογίᾳ Κ. Κοντογόνου, τόμ. Β', σελ. 117—8.

« ἀπαιτήσητε παρ' αὐτῶν, ἢ ἀναθεματίζειν μὲν τὴν « Ἀρειανὴν αἵρεσιν, ὁμολογεῖν δὲ τὴν παρὰ τῶν ἁγίων « Πατέρων ὁμολογηθεῖσαν ἐν Νικαίᾳ πίστιν· » καὶ εὐθὺς ἐφεξῆς (§ ε')· « ἠξίωσαν γάρ τινες, ὡς ἐνδεοῦς οὔ« σης τῆς κατὰ Νίκαιαν Συνόδου, γράψαι περὶ πίστεως, « καὶ ἐπεχείρησάν γε προπετῶς· ἡ δέ γε ἁγία Σύνοδος « ἡ ἐν Σαρδικῇ ἠγανάκτησε, καὶ ὥρισε μηδὲν ἔτι περὶ « πίστεως γράφεσθαι, ἀλλ' ἀρκεῖσθαι τῇ ἐν Νικαίᾳ πα« ρὰ τῶν Πατέρων ὁμολογηθείσῃ πίστει, διὰ τὸ μη« δὲν αὐτῇ λείπειν, ἀλλὰ πλήρη εὐσεβείας εἶναι, « καὶ ὅτι μὴ δεῖν δευτέραν ἐκτίθεσθαι πίστιν, ἵνα μὴ ἡ « ἐν Νικαίᾳ γραφεῖσα ὡς ἀτελὴς οὖσα νομισθῇ, καὶ « πρόφασις δοθῇ τοῖς ἐθέλουσι πολλάκις γράφειν καὶ « ὁρίζειν περὶ πίστεως, κ. τ. λ. »—Καὶ αὖθις δὲ ἐν § η'· « Οἱ παρὰ τὰ ἐν Νικαίᾳ γραφέντα ζητοῦντες οὐδὲν ἕτε« ρον ποιοῦσιν, ἢ ποτίζουσιν ἀνατροπὴν θο« λερὰν τὸν πλησίον, ὡς φθονοῦντες τὴν εἰρή« νην καὶ ἀγαπῶντες τὰ σχίσματα· ἀλλ' ὑμεῖς ὡς « ἀγαθοὶ ἄνθρωποι καὶ πιστοὶ δοῦλοι καὶ οἰκονόμοι τοῦ « Κυρίου, τὰ μὲν σκανδαλίζοντα καὶ ξενίζον« τα παύετε καὶ κωλύετε, πάντων δὲ μᾶλλον προκρί« νετε τὴν τοιαύτην εἰρήνην, κ. τ. λ. »—Τὰ δ' αὐτὰ καὶ πρὸς Ἐπίκτητον τὸν Κορίνθου Ἐπίσκοπον γράφων κατὰ τῶν αἱρετικῶν λέγει περὶ τῆς ἐν Νικαίᾳ Συνόδου καὶ τοῦ ὑπ' αὐτῆς συντεταγμένου θείου ὅρου τῆς πίστεως. « Ἐγὼ μὲν ἐνόμιζον πᾶσαν ματαιολογίαν πάν-

« των, ὅσοι δήποτ' οὖν εἰσιν αἱρετικοί, πεπαῦσθαι ἐκ
« τῆς γενομένης ἐν Νικαίᾳ Συνόδου· ἡ γὰρ ἐν αὐτῇ
« παρὰ τῶν Πατέρων κατὰ τὰς θείας Γραφὰς ὁμολο-
« γηθεῖσα πίστις αὐτάρκης ἐστὶ πρὸς ἀνατροπὴν μὲν
« πάσης ἀσεβείας, πρὸς σύστασιν δὲ τῆς εὐσεβοῦς ἐν
« Χριστῷ πίστεως. Διὰ τοῦτο γοῦν καὶ νῦν, διαφόρων
« γενομένων συνόδων ἔν τε τῇ Γαλλίᾳ καὶ Σπανίᾳ καὶ
« τῇ μεγάλῃ Ῥώμῃ, πάντες οἱ συνελθόντες τοὺς μὲν
« ἔτι κρυπτομένους καὶ φρονοῦντας τὰ Ἀρείου . . . .
« παμψηφεί, ὡς ἀφ' ἑνὸς πνεύματος κινούμενοι, ἀνεθε-
« μάτισαν· ἔγραψάν τε πανταχοῦ, διὰ τὸ τοὺς τοιού-
« τους ἐπινοεῖν ἑαυτοῖς ὀνόματα συνόδων, μηδεμίαν ἐν
« τῇ καθολικῇ Ἐκκλησίᾳ σύνοδον ὀνομάζεσθαι, εἰ μὴ
« μόνην τὴν ἐν Νικαίᾳ Σύνοδον γενομένην, τρόπαιον
« οὖσαν πάσης μὲν αἱρέσεως, ἐξαιρέτως δὲ τῆς Ἀρεια-
« νῆς, δι' ἣν μάλιστα καὶ ἡ Σύνοδος τότε συνήχθη. »—
Πρὸς δὲ τὸν αὐτοκράτορα Ἰωβιανὸν γράφων ἔλεγε.
« Γίνωσκε, θεοφιλέστατε αὔγουστε, ὅτι ταῦτα μὲν ἐξ
« αἰῶνός ἐστι κηρυττόμενα, ταύτην δὲ (τὴν πίστιν) οἱ
« ἐν Νικαίᾳ συνελθόντες ὡμολόγησαν Πατέρες, καὶ
« ταύτῃ σύμψηφοι τυγχάνουσι πᾶσαι αἱ πανταχοῦ κατὰ
« τόπον Ἐκκλησίαι. » καὶ εὐθὺς ἐφεξῆς· « Ταύτῃ τῇ
« πίστει, αὔγουστε, πάντας ἐπιμένειν ἀναγκαῖον, ὡς
« θείᾳ καὶ Ἀποστολικῇ, καὶ μηδένα μετακινεῖν αὐτὴν
« πιθανολογίαις καὶ λογομαχίαις, κ. τ. λ. » Ἀλλὰ καὶ
ἐν τῇ ἐπιστολῇ πρὸς τοὺς ἐν τῇ Ἀφρικῇ Ἐπισκόπους,

ἥτις ἐγράφη ὑπ' αὐτοῦ τοῦ Ἀθανασίου καὶ ἑτέρων 90 Ἐπισκόπων τῶν κατ' Αἴγυπτον καὶ Λιβύην, τοῦτ' αὐτὸ ἐντόνως καὶ ἐπιμόνως διατάσσεται, μίαν μόνην πίστιν κρατεῖν, τὴν δεδομένην ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου· « αὕτη γὰρ ἡ Σύνοδος ἀληθῶς στηλογραφία κατὰ πά-« σης αἱρέσεώς ἐστιν· αὕτη καὶ τοὺς βλασφημοῦντας « εἰς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ λέγοντας αὐτὸ κτίσμα, « ἀνατρέπει. Εἰρηκότες γὰρ οἱ Πατέρες περὶ τῆς εἰς « τὸν Υἱὸν πίστεως, ἐπήγαγον εὐθύς—Πιστεύομεν καὶ « εἰς τὸ Πνεῦμα τὸ ἅγιον.... Δῆλον γὰρ καὶ παρ' ὑμῖν « καὶ παρὰ πᾶσι καθέστηκε, καὶ οὐδεὶς ἂν Χρι-« στιανῶν ἀμφίβολον εἰς τοῦτο σχοίη « τὴν διάνοιαν, ὅτι ΟΥΚ ΕΣΤΙΝ ΗΜΩΝ Η « ΠΙΣΤΙΣ ΕΙΣ ΤΗΝ ΚΤΙΣΙΝ, ἀλλ' εἰς ἕνα Θεὸν « Πατέρα παντοκράτορα... καὶ εἰς ἕνα Κύριον Ἰησοῦν « Χριστόν.... καὶ εἰς ἓν Πνεῦμα ἅγιον· ἕνα Θεόν, τὸν « ἐν τῇ ἁγίᾳ καὶ τελείᾳ Τριάδι γινωσκόμενον· εἰς ἣν « καὶ βαπτιζόμενοι, καὶ ἐν ταύτῃ συναπτόμενοι « τῇ θεότητι, πιστεύομεν καὶ βασιλείαν οὐρανῶν κλη-« ρονομῆσαι, κ. τ. λ. » Αὐτὰ δὲ ταῦτα γράφει καὶ ἐν ἑτέρᾳ ἐπιστολῇ, ἧς ἡ ὑπόθεσις, « ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος ἑωρακυῖα τὴν πανουργίαν τῶν περὶ Εὐσέβιον ἐξέθετο πρεπόντως καὶ εὐσεβῶς κατὰ τῆς Ἀρειανῆς αἱρέσεως τὰ ὁρισθέντα. » Ἐν δὲ τῇ ἐπιστολῇ, ἣν ἔγραψε περὶ τῶν γενομένων μετὰ τὴν ἐν Νικαίᾳ σονόδων ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας,

ἀπ' ἀρχῆς μέχρι τέλους διαμαρτύρεται κατὰ πάσης ἄλλης ἐκθέσεως πίστεως διαφόρου τῆς ἐν Νικαίᾳ δεδομένης. « Τίς ἡ χρεία (λέγει) τῶν Συνόδων, ἀρκούσης « τῆς ἐν Νικαίᾳ γενομένης πρός τε τὴν Ἀρειανὴν καὶ « πρὸς ἄλλας αἱρέσεις, ἃς κατέκρινε πάσας διὰ τῆς « ὑγιαινούσης πίστεως; » Ἐν τῇ αὐτῇ δὲ ἐπιστολῇ (§ 5) καὶ τὴν ἀκριβολογίαν τῆς Συνόδου ἐκείνης ἐπαινῶν λέγει. « Περὶ δὲ τῆς πίστεως οὐκ ἔγραψαν ἔδο- « ξεν, ἀλλ' οὕτω πιστεύει ἡ καθολικὴ Ἐκ- « κλησία· καὶ εὐθὺς ὡμολόγησαν, πῶς πιστεύουσιν, « ἵνα δείξωσιν, ὅτι μὴ νεώτερον, ἀλλ' Ἀποστολικόν « ἐστιν αὐτῶν τὸ φρόνημα, καὶ ἃ ἔγραψαν οὐκ ἐξ αὐ- « τῶν εὑρέθη, ἀλλὰ ταῦτ' ἐστίν, ἅπερ ἐδίδαξαν οἱ « Ἀπόστολοι. » Καὶ τέλος πάντων ἐν τῇ ὑπ' αὐτοῦ γεγραμμένῃ Ὁμολογίᾳ ἢ ἐκθέσει τῆς πίστεως διακηρύττει ὅ,τι μόνον τὸ ἐν Νικαίᾳ Σύμβολον παραδίδωσι. « Πιστεύομεν (λέγει) εἰς ἕνα ἀγέννητον Θεόν, Πατέρα « παντοκράτορα,... καὶ εἰς ἕνα μονογενῆ Λόγον, σο- « φίαν, υἱόν, ἐκ τοῦ Πατρὸς ἀνάρχως καὶ ἀϊδίως γε- « γεννημένον.... Πιστεύομεν ὁμοίως καὶ εἰς τὸ Πνεῦ- « μα τὸ ἅγιον, τὸ πάντα ἐρευνῶν καὶ τὰ βάθη τοῦ « Θεοῦ, ἀναθεματίζοντες τὰ παρὰ τοῦτο φρονοῦντα « δόγματα. » Τοιαύτην λοιπὸν δογματίζων ὁ πολύαθλος τῆς τοῦ Χριστοῦ Ἐκκλησίας Πατὴρ καὶ τῆς ὀρθοδοξίας ὑπέρμαχος τὴν πίστιν ἡμῶν, οὐδαμοῦ λέγει, ὅτι ὀφείλομεν καὶ εἰς τὴν Ἐκκλησίαν πιστεύειν. Τὸ δὲ

ψευδεπιγράφως καλούμενον Σύμβολον τοῦ ἁγίου Ἀθανασίου, περὶ οὗ λόγος πολὺς ἐγένετο καὶ γίνεται ἐν ταῖς Ἐκκλησίαις τῆς Δύσεως, οὐδέποτε παρ' ἡμῖν ἐπιστεύθη ὡς γνήσιον τοῦ μεγάλου Πατρὸς ἔργον· ἀλλ' ὅμως οὐδ' ἐν τούτῳ λέγεται, ὅτι ὀφείλομεν πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν.[23]

---

[23] Πολλὰ περὶ τοῦ Συμβόλου τούτου ἐγράφησαν, καὶ ἀδιαλείπτως γράφονται, ὑπὸ τῶν θεολόγων τῆς τῶν Διαμαρτυρομένων Ἐκκλησίας, τῶν μὲν τὴν γνησιότητα αὐτοῦ ὑποστηριζόντων, καὶ διὰ τοῦτο ἄξιον εὑρίσκοντες αὐτὸ ἀναγινώσκεσθαι ἐν ταῖς Ἐκκλησίαις, τῶν δὲ τοὐναντίον νόθον καὶ ἀποῤῥιπτέον εἶναι ἀποφαινομένων. Οὐ μόνον δὲ ἐν ἰδίαις περὶ τούτου πραγματείαις πολλὰ καὶ ἀντίθετα ἐγράφησαν, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ Βουλῇ τῶν Λόρδων ἀντικείμενον ἐγένετο συζητήσεως πρὸ μικροῦ· ὅτε τις τῶν εὐλόγως ἀρνουμένων τὴν γνησιότητα αὐτοῦ ἀπεκάλεσεν αὐτὸ βάρβαρον βαρβάρου ἐποχῆς προϊόν. Καὶ ὅτι μὲν τὸ Σύμβολον τοῦτο ψευδεπιγράφως ἀποδίδοται τῷ μεγάλῳ Ἀθανασίῳ, οὐδεὶς ὀρθῶς κρίνων δύναται ἀμφιβάλλειν· ἀλλὰ καὶ ἡ ἐπωνυμία "βάρβαρον" ὑπερβολικὴ φαίνεταί μοι. Καίτοι πολλοὶ καὶ σπουδαῖοί εἰσιν οἱ λόγοι, ἐξ ὧν ἀποδείκνυται τὸ ψευδεπίγραφον τοῦ ποικίλου τούτου Συμβόλου (τέσσαρες αὐτοῦ ἐκδόσεις οὐκ ὀλίγον ἀλλήλων διαφέρουσαι γινώσκονται), ὅμως οὐδὲν περιέχει πρὸς τὴν καθολικὴν πίστιν ἀντικείμενον, ἅτε ἁπλῶς τὸ περὶ τῆς ἁγίας Τριάδος δόγμα τῆς καθολικῆς Ἐκκλησίας διδάσκον, ὅπερ ἐστὶ τὸ προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν. Τῶν περὶ τοῦ Συμβόλου τούτου πολλῶν καὶ παντοίων πραγματειῶν νεωτέρα ἐστὶν ἡ πρὸ μικροῦ συγγραφεῖσα ὑπὸ τοῦ σοφοῦ καὶ σεβασμιωτάτου γέροντος A. P. Stanley D. D. τοῦ Δεκάνου τῆς Οὐέστμινστέρης, καὶ γνωστοῦ συγγραφέως τῆς περὶ τῆς Ἀνατολικῆς Ἐκκλησίας σπουδαιοτάτης πραγματείας (Lectures on the History of the Eastern Church, etc. London, 1862, Second Edition) καὶ πολλῶν ἄλλων ἐκκλησιαστικῶν καὶ ἱστορικῶν συγγραμμάτων· μικρὸν δὲ πρὸ ταύτης καὶ ἑτέρα ἐξεδόθη περὶ τοῦ Ἀθανασιανοῦ Συμβόλου πραγματεία ἐν εἴδει ἐπιστολιμαίας διατριβῆς ὑπὸ τοῦ Κυρίου C. A. Swainson D. D. (1870)· καὶ ἐπ' ἐσχάτων δὲ ὁ Κύριος J. S. Brewer, M. A. ὁμοίαν ἐξέδωκε διατριβήν, ἐν ᾗ συνηγορεῖ θερμῶς ὑπὲρ τοῦ Συμβόλου κατὰ τῆς γνώμης τῶν δύο

Κύριλλος ὁ Ἱεροσολύμων.

Σύγχρονος τῷ μεγάλῳ Ἀθανασίῳ ἐγένετο Κύριλλος ὁ Ἱεροσολύμων, ἀποθανὼν τὸ 385, τουτέστι δώδεκα ἔτη μετὰ τὸν Ἀθανάσιον. Ὑπὸ τὸ ὄνομα τοῦ Κυρίλλου τούτου περιῆλθον εἰς ἡμᾶς 23 Κατηχητικοὶ Λόγοι ἢ Κατηχητικὰ μαθήματα, ἅπερ ἐν Ἱεροσολύμοις ἐδίδασκε πρὶν ἢ πατριαρχεύσῃ (τὸ 350)· διδάσκων δὲ τοὺς κατηχουμένους καὶ τοὺς νεοφωτίστους, ἡρμήνευεν αὐτοῖς τὸ Σύμβολον τῆς πίστεως, μίαν αὐτοῦ περικοπὴν λαμβάνων ὡς θέμα τοῦ λόγου καθ' ἕκαστον μάθημα, καὶ συναπαρτίζων αὐτὸ οὑτωσί. "Πιστεύω
« εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρα-
« νοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ
« εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ Θεοῦ
« τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ
« πάντων τῶν αἰώνων, Θεὸν ἀληθινόν, δι' οὗ τὰ πάντα
« ἐγένετο, σαρκωθέντα καὶ ἐνανθρωπήσαντα ἐκ παρ-
« θένου καὶ Πνεύματος ἁγίου, σταυρωθέντα καὶ τα-
« φέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ,
« καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθίσαντα ἐκ
« δεξιῶν τοῦ Πατρός, καὶ ἐρχόμενον ἐν δόξῃ κρῖναι
« ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται

εἰρημένων θεολόγων· ὅθεν ἐπιγράφει τὴν διατριβὴν αὐτοῦ The Athanasian Creed vindicated from the objections of Dean Stanley etc. Ἴδε τὰ περὶ τοῦ Συμβόλου τούτου ἐν τῇ Πατρολογίᾳ τοῦ ἡμετέρου Κ. Κοντογόνου (τόμ. Β', σελ. 144—5) σημειούμενα, καὶ τὰ ὑπὸ Κοραῆ ἐν τῇ "Συμβουλῇ τριῶν Ἐπισκόπων", σελ. 3.

« τέλος· καὶ εἰς ἓν ἅγιον Πνεῦμα, τὸν παράκλητον, τὸ
« λαλῆσαν ἐν τοῖς προφήταις· εἰς ἓν βάπτισμα μετα-
« νοίας εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ εἰς μίαν ἁγίαν καθο-
« λικὴν Ἐκκλησίαν· καὶ εἰς σαρκὸς ἀνάστασιν· καὶ εἰς
« ζωὴν αἰώνιον."—Ἁπλῆ τις παραβολὴ τοῦ Συμβόλου
τούτου πρὸς τὰ δύο ἀνωτέρω ἐκτεθέντα, τὸ τῆς ἐν
Νικαίᾳ Συνόδου καὶ τὸ τοῦ Ἀρείου, δείκνυσι καθαρώ-
τατα, ὅτι τὸ καλούμενον τοῦτο Σύμβολον τοῦ Κυρίλ-
λου, ἢ Σύμβολον τῶν Ἱεροσολύμων, τοῦ μὲν πρώτου
διαφέρει οὐσιωδῶς, ἅτε δὴ οὐχ ὁμολογοῦν τὸν Υἱὸν
ὁμοούσιον τῷ Πατρί (ὅπερ ἦν, ὡς ἄρτι ἐλέγομεν,
τὸ κυριώτατον καὶ σπουδαιότατον ζήτημα ἐν τῇ Α΄
Συνόδῳ), πρὸς δὲ τὸ δεύτερον, τὸ τοῦ Ἀρείου, συμφω-
νεῖ πληρέστατα· διότι καὶ τὰς ἰδιότητας τοῦ Πατρὸς
καὶ τοῦ Υἱοῦ ἐκτίθησιν ὡς ἐκεῖνο, φεῦγον ὁμολογῆσαι
τὸν Υἱὸν ὁμοούσιον τῷ Πατρί, καὶ τὰς ἐν τέλει
προσθήκας, τὰς οὐχ ὑπαρχούσας ἐν τῷ τῆς Νικαίας
Συμβόλῳ, ὁμοίας ἔχει τῷ τοῦ Ἀρείου. Παρατηρητέον
πρὸς τούτοις, ὅτι οὐ μόνον ἐν αὐτῷ τῷ Συμβόλῳ οὐχ
εὕρηται ὁ ὅρος ὁμοούσιος, ἀλλὰ καὶ οὐδαμοῦ τῶν
Κατηχήσεων· ἐν δὲ τῇ τετάρτῃ Κατηχήσει (§ ε΄) ὀνο-
μάζει τὸν Χριστὸν ὅμοιον κατὰ πάντα τῷ
γεννήσαντι· καὶ ἐν τῇ ΙΑ΄ (§ στ΄) λέγει περὶ τού-
του—ὅμοιος γὰρ ἐν πᾶσιν ὁ υἱὸς τῷ γε-
γεννηκότι· ταύτην δὲ τὴν ἐπωνυμίαν, ὡς γνωστόν,
προὐβάλοντο τῇ ἐν Νικαίᾳ Συνόδῳ οἱ προσπαθοῦντες

συμβιβάσαι τὸν Ἄρειον πρὸς αὐτήν, καὶ ἐντεῦθεν Ἡμιάρειοι ἢ Ἡμιαρειανοὶ ἐπικληθέντες.[24] Ἀλλ' ἡ Σύνοδος οὐδαμῶς ἀποδεξαμένη τὰς προβαλλομένας ταύτας συνθηκολογίας ὑπὸ τῶν πρὸς εἰρήνευσιν μεσολαβούντων, ὧν προεξῆρχεν ὁ περίφημος Εὐσέβιος ὁ Παμφίλου, ὁ Καισαρείας Ἐπίσκοπος, ἀνεκήρυξε τὸν Υἱὸν τοῦ Θεοῦ ὁμοούσιον τῷ Πατρί, πανηγυρικῶς καὶ ὁμοφώνως ἀναθεματίσασα τοὺς λέγοντας, "ἦν ποτε, ὅτε οὐκ ἦν, κ. τ. λ." Οὐ μόνον δὲ ὁ ὅρος ὁμοούσιος οὐδαμοῦ τοῦ Κυριλλείου καλουμένου Συμβόλου καὶ τῶν Κατηχήσεων εὕρηται, ἀλλὰ καὶ αὐτό τῆς ἐν

---

[24] Ἴδε περὶ τούτων τὴν Ἐκκλ. Ἱστορ. Κ. Κοντογόνου, τόμ. Α'. σελ. 507—8. Τὴν ἔλλειψιν τοῦ ὅρου ὁμοούσιος ἐν τῷ Συμβόλῳ τῷ ἐν ταῖς Κατηχήσεσι ταύταις ἑρμηνευομένῳ καὶ ἄλλοι παρετήρησαν, ἐν οἷς καὶ ὁ πολὺς J. Bingham ἐν τῷ περιωνύμῳ αὐτοῦ συγγράμματι—The Antiquities of the Christian Church (Book X. ch., IV)· ἔνθα δικαιολογῶν τὴν ἔλλειψιν ταύτην λέγει, ὅτι ὁ Κύριλλος ἡρμήνευεν, ὡς φαίνεται, τὸ ἀρχαῖον Σύμβολον τῶν Ἱεροσολύμων, καὶ ἅμα παρατηρεῖ, ὅτι τὰ ἐν τῇ Ἀνατολῇ ἐπικρατοῦντα Σύμβολα περιεῖχον ἀνέκαθεν τὰ μετὰ τὴν ὁμολογίαν τῆς εἰς τὸ ἅγιον Πνεῦμα πίστεως προστιθέμενα, τουτέστι τὴν καθολικὴν Ἐκκλησίαν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, τὴν σαρκὸς ἀνάστασιν καὶ τὴν αἰώνιον ζωήν. Ἀλλ' ἐπλανήθη, νομίζω, ἐν τούτῳ ὁ ἀληθῶς θαυμαστὸς ἐκεῖνος ἀνήρ· διότι πρῶτον μὲν οὐδὲν τῶν ἐν τῇ Ἀνατολῇ Συμβόλων περιεῖχεν ὡς ἄρθρα πίστεως τὰς προσθήκας ταύτας· ἔπειτα δέ, πῶς ἠδύνατο ὁ Κύριλλος ἢ ἄλλος ὀρθόδοξος κατηχητὴς ἑρμηνεύειν τοῖς κατηχουμένοις ἄλλο ἢ τὸ καθ' ὃ ἐβαπτίζοντο Σύμβολον, ὅπερ ἦν τὸ ἐν Νικαίᾳ; πῶς μετὰ τὸ φρικτὸν ἀνάθεμα τῆς μεγάλης ἐκείνης Συνόδου κατὰ πάντων τῶν μὴ ὁμολογούντων τὸν Υἱὸν συνάναρχον καὶ ὁμοούσιον τῷ Πατρὶ ἠδύνατο ἑρμηνεύειν τοῖς κατηχουμένοις Σύμβολον, ἐν ᾧ προφανῶς ἀποδοκιμάζεται ὁ ὅρος οὗτος; Μόνος Ἀρειανὸς κατηχητὴς ἠδύνατο τοῦτο ποιῆσαι τριάκοντα ἔτη μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον, θαῤῥῶν τῇ προστασίᾳ τοῦ τὸν

Νικαίᾳ Συνόδου τὸ ὄνομα οὐδαμοῦ μνημονεύεται, εἰ καὶ αἱ Κατηχήσεις αὗται ἐγένοντο καὶ ἐγράφησαν 30 περίπου ἔτη μετὰ τὴν Σύνοδον ἐκείνην, ἣν ἅπαντες οἱ Πατέρες ἀνευφήμησαν καὶ ἀνεκήρυξαν στήλην ὀρθοδοξίας καὶ στηλογραφίαν κατὰ πάσης αἱρέσεως, πανταχοῦ τῶν συγγραμμάτων αὐτῶν, ὡς προϊόντες ὀψόμεθα, μόνην τὴν ὑπ' ἐκείνης δεδομένην πίστιν ἀποδεχόμενοι καὶ διδάσκοντες, τοὺς δὲ παρ' ἐκείνην φρονοῦντας ἀποστρεφόμενοι καὶ ἀποκηρύττοντες, ὡς ἀλλοτρίους καὶ τοῦ Θεοῦ καὶ τῆς καθολικῆς Ἐκκλησίας. Ὃ δὲ πάντων μάλιστα τρανῶς ἀποδείκνυσιν, ὅτι Ἀρειανὸς ἦν ὁ συγγραφεὺς τῶν Κατηχήσεων ἐκείνων, τοῦτό μοι σκόπει· ἐν γὰρ τῇ ἕκτῃ Κατηχήσει περὶ αἱρέσεων διδά-

---

Κωνσταντῖνον διαδεχθέντος Κωνσταντίου, οὐχὶ δὲ ὀρθόδοξος, τὸ ἐν Νικαίᾳ Σύμβολον ἀποδεξάμενος καὶ κατ' ἐκεῖνο βαπτίζων. "Δεῖ γὰρ ἡμᾶς (λέγει ὁ μέγας Βασίλειος, ὡς εὐθὺς ἐφεξῆς ὀψόμεθα) βαπτίζεσθαι μὲν ὡς παρελάβομεν, πιστεύειν δὲ ὡς βαπτιζόμεθα." Διὰ τοῦτο ὁ μέγας ἐκεῖνος τῆς Ἐκκλησίας Πατὴρ ἐκήρυττεν, ὅτι πάντες ὀφείλουσι διδάσκεσθαι μόνην τὴν ἐν Νικαίᾳ πίστιν, ὡς καὶ ὁ Ἀθανάσιος καὶ Γρηγόριος ὁ Θεολόγος, οἱ τῷ Κυρίλλῳ σύγχρονοι. Καὶ λοιπὸν παρὰ τὴν κοινὴν καὶ πάνδημον τῆς ὀρθοδόξου Ἐκκλησίας διδασκαλίαν ὁ Κύριλλος ἐδίδασκε τοὺς ἐν Ἱεροσολύμοις κατηχουμένους ἄλλο ἢ τὸ ἐν Νικαίᾳ Σύμβολον, καθ' ὃ ἐβαπτίζοντο, καὶ μάλιστα Σύμβολον, ὅλως πρὸς ἐκεῖνο ἀντίθετον; Καὶ ταῦτα πράττων ὁ Κύριλλος ἦν ἄξιος συναριθμεῖσθαι τοῖς μεγάλοις ἐκείνοις διδασκάλοις τῆς Ἐκκλησίας; Τοῦτο οὐδείς, νομίζω, ἀποδέξεται, ἀλλ' ἐξ ἅπαντος πᾶς τις ὀρθῶς σκεπτόμενος ἀναφωνήσει τοῖς τὸ Σύμβολον τοῦ Κυρίλλου εἰς ὑποστήριξιν τῆς εἰς τὴν Ἐκκλησίαν πίστεως προβαλλομένοις· "ἢ τὸν Κύριλλον ἀποκλείσατε τοῦ θείου συλλόγου τῶν τῆς ὀρθοδοξίας διδασκάλων, ἢ τὰς εἰς ὄνομα αὐτοῦ σωζομένας Κατηχήσεις ἀποκηρύξατε ὡς ὑπό τινος Ἀρειανοῦ παρεφθαρμένας, ἢ καὶ ὅλως ψευδεπιγράφους."

σκων, καὶ ἄλλας ἀπαριθμῶν καὶ κατακρίνων, οὐδὲν λέγει περὶ Ἀρείου καὶ τῆς αἱρέσεως αὐτοῦ, τῆς τότε καταλυμαινομένης τὴν Ἐκκλησίαν, τῆς ὑπὸ τῆς Α΄ οἰκουμενικῆς Συνόδου οὕτω πανδήμως κατακριθείσης καὶ ἀναθεματισθείσης, τῆς ὑπὸ τοῦ μεγάλου Ἀθανασίου καὶ τῶν ἄλλων συγχρόνων τῆς Ἐκκλησίας Πατέρων στεῤῥῶς πολεμουμένης, τῆς τοσοῦτον ἐν ἑνὶ λόγῳ τάραχον ἀνὰ πᾶσαν τὴν Ἀνατολὴν καὶ Δύσιν ἐξεγειράσης, ὅσον οὐδεμία ἄλλη τῶν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ λυμηναμένων αἱρέσεων. Παρατηρητέον δὲ πρὸς τούτοις ὅτι μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον, καὶ μάλιστα μετὰ τὸν θάνατον τοῦ μεγάλου Κωνσταντίνου, οἱ Ἀρειανοὶ ἀναφανδὸν προστατευόμενοι ὑπὸ Κωνσταντίου τοῦ υἱοῦ καὶ διαδόχου ἐκείνου, πάντα λίθον ἐκίνησαν, ὅπως κατορθώσωσι τὴν ἐξάλειψιν τοῦ ὅρου ὁμοούσιος ἀπὸ τοῦ Συμβόλου τῆς Νικαίας, καὶ βοηθείᾳ τοῦ αὐτοκράτορος ἀλλεπαλλήλους συνεκρότησαν Συνόδους, τήν τε ἐν Σαρδικῇ, καὶ τὴν ἐν Μεδιολάνῳ, καὶ τὴν ἐν Ἀριμίνῳ, καὶ ἄλλας ἀλλαχοῦ (περὶ ὧν ἀκριβῶς διηγεῖται ὁ Θεοδώρητος ἐν τῷ Β΄ βιβλίῳ τῆς Ἐκκλησ. Ἱστορίας αὐτοῦ), πάντα μηχανώμενοι, ὅπως ἀναγκάσωσι τοὺς ἐν αὐταῖς συνερχομένους Ἐπισκόπους εἰς τὸ μετατρέψαι τὸ ἐν Νικαίᾳ Σύμβολον·[25] ἀλλ' οὐδὲν ἤνυσαν, ἐπιμόνως ἀρνουμένων

---

[25] Ἴδε τὰ περὶ τῶν Συνόδων τούτων καὶ ἐν τῇ Ἐκκλησιαστ. Ἱστορ. Κ. Κοντογόνου, τόμ. Α΄, σελ. 526 κ. ἑξ.

τῶν Ἐπισκόπων ἰῶτα ἓν ἢ μίαν κεραίαν μεταβαλεῖν. Ἀξία δὲ μάλιστα μνήμης ἐστὶν ἡ ἐπιστολή, ἣν οἱ ἐν Ἀριμίνῳ συνελθόντες ἔγραψαν περὶ τούτου πρὸς τὸν πεπλανημένον αὐτοκράτορα, καὶ ἐν ᾗ μετὰ πολλῆς καὶ εὐσεβοῦς παῤῥησίας, οὐδὲν ἐπηρεαζόμενοι ὑπὸ τῶν παρακλήσεων, ὑποσχέσεων καὶ ἀπειλῶν τῶν τότε μέγα δυναμένων Ἀρειανῶν, λέγουσι πρὸς αὐτὸν τάδε. "Ὡς « γὰρ ἐπὶ πλεῖστον διασκοποῦντες εὑρήκαμεν, ἄριστον « ἐφάνη τὴν πίστιν τὴν ἔκπαλαι διαμένουσαν, ἣν καὶ « οἱ προφῆται καὶ τὰ εὐαγγέλια καὶ οἱ « Ἀπόστολοι διὰ Χριστοῦ τοῦ Κυρίου ἡμῶν ἐκή- « ρυξαν ... ἵνα ταύτην κατέχοντες φυλάξωμεν, καὶ « φυλάττοντες μέχρι τέλους διατηρήσωμεν· ἄτοπον « γὰρ ἐφάνη καὶ ἀθέμιτον τῶν ὀρθῶς καὶ δικαίως ὡρι- « σμένων τι μεταλλάξαι, καὶ τῶν ἐν Νικαίᾳ κοινῇ « μετὰ τοῦ ἐνδοξοτάτου Κωνσταντίνου τοῦ σοῦ πατρὸς « καὶ βασιλέως ἐσκεμμένων... ἐν ᾗ (διδασκαλίᾳ) ὄντως « καὶ τὸ προσθεῖναί τι χαλεπὸν καὶ σφαλερόν, καὶ τὸ « ἀφελέσθαι ἐπικίνδυνον ὑπάρχει· ὡς εἴπερ θάτερον « γένοιτο, ἔσται τοῖς ἐχθροῖς ἄδεια τοῦ ποιεῖν ἅπερ « βούλονται, κ. τ. λ."[26] Αὗται τῶν Ἀρειανῶν αἱ σκευωρίαι πρὸς ματαβολὴν τοῦ Συμβόλου, καὶ ἰδίως πρὸς ἐξάλειψιν τοῦ ὅρου ὁμοούσιος, ἐγένοντο, ὡς ἄρτι ἐλέγομεν, ἐπὶ τῆς βασιλείας τοῦ Κωνσταντίου

---

[26] Θεοδώρητος, ἔνθ. ἀνωτ.

(337—361), ἀκριβῶς καθ' οὓς χρόνους ἐγράφησαν αἱ λεγόμεναι Κατηχήσεις τοῦ Κυρίλλου.[27] Ἀλλ' ὅμως ἐν ταῖς Κατηχήσεσι ταύταις τὸ μὲν ὑπὸ πάντων τῶν ὀρθοδόξων ἐπισκόπων ἐν διωγμοῖς καὶ θλίψεσι καρτερικῶς ὑποστηριζόμενον Σύμβολον τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ ὁ ὅρος ὁμοούσιος, καὶ αὐτὸ τῆς Συνόδου τὸ ὄνομα, οὐδ' ὁπωστιοῦν μνημονεύονται· τὸ δὲ Ἀρειανὸν Σύμβολον ἑρμηνεύεται ἐν αὐταῖς, καί, τὸ δὴ λεγόμενον, γυμνῇ τῇ κεφαλῇ ἀποκαλεῖται ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ κατὰ τὸν τῶν Ἀρειανῶν ὅρον ὅμοιος τῷ γεγεννηκότι· καὶ ἐν τῇ ἕκτῃ Κατηχήσει, ἐν ᾗ αἱ ἄλλαι αἱρέσεις μνημονεύονται καὶ κατακρίνονται, μόνη ἡ τοῦ Ἀρείου οὔτε μνημονεύεται οὔτε κατακρίνεται. Ταῦτα τίς ἄλλος ἢ Ἀρειανὸς ἠδύνατο συγ-

---

[27] *Ἀλλὰ δυστυχῶς αἱ σκευωρίαι αὗται τῶν Ἀρειανῶν καὶ αἱ καταπιέσεις τῶν ὀρθοδόξων οὐ κατέπαυσαν μετὰ τὸν θάνατον τοῦ Ἀρειανοφίλου τούτου αὐτοκράτορος· διότι καὶ οἱ μετ' αὐτὸν τρεῖς αὐτοκράτορες, Ἰουλιανὸς ὁ παραβάτης, Ἰωβιανὸς καὶ Οὐάλης, οὐχ ἧττον ἐκείνου κατεδίωξαν τοὺς ὀρθοδόξους, ἐκθύμως ὑπὲρ τῆς ἀληθοῦς πίστεως ἀμυνομένους, καὶ καρτερικῶς ὑπομένοντας τῶν Ἀρειανῶν τὰς ὕβρεις καὶ τῶν Ἀρειανιζόντων βασιλέων τοὺς διωγμοὺς καὶ τὰς παντοίας καταπιέσεις. Γνωστὴ πρὸς πολλοῖς ἄλλοις ἐστὶν ἡ θαυμαστὴ καρτερία τοῦ μεγάλου Βασιλείου κατὰ τῶν ὑποσχέσεων καὶ ἀπειλῶν τοῦ αὐτοκράτορος Οὐάλεντος, ἀποστείλαντος ἐπίτηδες εἰς Καισάρειαν τὸν ὕπαρχον Μόδεστον, ὅπως πείσῃ ἢ ἀναγκάσῃ τὸν Βασίλειον κοινωνῆσαι τοῖς Ἀρειανοῖς, καὶ ἀπειθοῦντα ἐξελάσῃ αὐτὸν τῆς Ἐπισκοπῆς. Ταύτην λαβὼν ὁ Μόδεστος τὴν ἐντολὴν ἀφίκετο εἰς Καισάρειαν, καὶ πολλὰ πρὸς τὸν Βασίλειον ὑπέσχετο, ἐπὶ δὲ πᾶσι καὶ τὴν τοῦ βασιλέως φιλίαν· ἀλλ' ὁ θαυμάσιος ἐκεῖνος καὶ μέγας τῆς ὀρθοδοξίας πρόμαχος εὐτόλμως ἀπεκρίνατο τῷ ὑπάρχῳ. « Οἱ τοῖς θείοις*

γράψαι τότε, τριάκοντα δηλονότι ἔτη μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον, τὴν πανδήμως ἀναθεματίσασαν καὶ τὸν Ἄρειον καὶ πάντας τοὺς μὴ ὁμολογοῦντας τὸν Υἱὸν συνάναρχον καὶ συναΐδιον καὶ ὁμοούσιον τῷ Πατρί;

Διάφοροι γνῶμαι περὶ τῆς Κυρίλλου ὀρθοδοξίας.

Καὶ λοιπόν, εἴποις ἄν, Ἀρειανὸς ἦν ὁ Ἱεροσολύμων Κύριλλος; Περὶ τούτου πολλὰ ὑπὸ πολλῶν ἐγράφησαν, ἐξ ὧν παρατίθεμαί σοι τὰ ὑπὸ Σωκράτους ἐν τῇ Ἐκκλησιαστικῇ αὐτοῦ Ἱστορίᾳ (Ε′, 8), ἔνθα τὰ περὶ τῆς Β′ οἰκουμεν. Συνόδου ἱστορῶν λέγει. "Μηδὲν « δὲ ὁ βασιλεὺς ὑπερθέμενος, Σύνοδον ἐπισκόπων τῆς « αὐτοῦ πίστεως συγκαλεῖ ἐπὶ τὸ κρατῦναι τὴν « ἐν Νικαίᾳ πίστιν... Συνῆλθον οὖν τῆς μὲν « ὁμοουσίου πίστεως, ἐκ μὲν Ἀλεξανδρείας Τιμόθεος, « ἐκ δὲ Ἱεροσολύμων Κύριλλος, τότε (δηλ. τὸ 381) « πρῶτον ἐκ μεταμελείας τῷ ὁμοουσίῳ « προσκείμενος". Οὐ μόνον δὲ ὁ Σωκράτης, ἀλλὰ καὶ ὁ Σωζόμενος (Ζ′, 7) τὰ αὐτὰ ἱστορεῖ περὶ Κυρίλλου, καὶ ἄλλοι, ὧν μνημονεύει ὁ Κύριος Κοντο-

---

« λόγοις ἐντεθραμμένοι προέσθαι μὲν τῶν θείων δογμάτων οὐδὲ μίαν ἀνέ- « χονται συλλαβήν· ὑπὲρ δὲ τούτων καὶ πάσας, εἰ δέοι, τοῦ θανάτου τὰς ἰδέας « ἀσπάζονται· τὴν δὲ βασιλέως φιλίαν μέγα μὲν ἡγοῦμαι μετ' εὐσεβείας, « ἄνευ δὲ ταύτης ὀλεθρίαν ἀποκαλῶ.» Ἀγανακτήσαντος δ' ἐπὶ τούτοις τοῦ ὑπάρχου, καὶ θάνατον αὐτῷ ἀπειλήσαντος, « γένοιτό μοι, εἶπεν ὁ θεῖος « Πατήρ, διὰ τὴν ἀλήθειαν ἀπαλλαγῆναι τῶν δεσμῶν τοῦ σώματος."— Θεοδώρητος ἐν Ἐκκλ. Ἱστορ. Δ′. ιθ′. ἔπιθι δὲ καὶ τὸν Βασιλείου βίον ἐν τῇ Πατρολογίᾳ τοῦ Κυρίου Κοντογόνου, τόμ. Β′, σελ. 367 κ. ἑξ. ἔτι δὲ καὶ τὴν Ἐκκλ. Ἱστορ. τοῦ αὐτοῦ, τόμ. Α′, σελ. 545—6.

γόνης ἐν τῷ βίῳ τοῦ Κυρίλλου,[28] καὶ ἐξ ὧν ὀνομάζω σοι δύο συγχρόνους αὐτῷ, τὸν Ἱερώνυμον καὶ τὸν Ῥουφῖνον. Τούτων ὁ μὲν πρῶτος ἐν τῷ Χρονικῷ αὐτοῦ συγκαταλέγει τὸν Κύριλλον μετὰ τῶν Ἀρειανῶν Ἐπισκόπων, Εὐτυχίου, Εἰρηναίου καὶ Ἱλαρίου, ὁ δὲ δεύτερος λέγει ἐν τῇ Ἐκκλησ. αὐτοῦ Ἱστορίᾳ, ὅτι ὁ Κύριλλος διέφερεν ἐνίοτε περὶ τὴν πίστιν, "sæpius in communione variabat." Τούτοις δὲ προσθετέον, ὅτι καὶ ἐν τῇ Φωτίου Μυριοβίβλῳ (ἀνάγν. 258, σελ. 482, ἔκδ. Βεκκέρου) ἱστορεῖται ἐξ ἑτέρου συγγραφέως, τοῦ τὸν βίον Παύλου τοῦ Ὁμολογητοῦ συγγράψαντος, ὅτι « Γεώργιος ὁ τῆς Ἀλεξανδρέων πόλεως ἁρπάσας τὸν « θρόνον, ἅμα τοῖς περὶ Ἀκάκιον καὶ Πετρόφιλον, οἱ » τῆς Ἀρείου φατρίας, ἐξωθήσαντες Ἱεροσολύμων τὸν « ὁμολογητὴν Μάξιμον, ἀντεισάγουσι Κύριλλον". Ἀλλ' ὅμως αὐτὸς ὁ Σωζόμενος, ὃν ἄρτι εἴδομεν κατηγοροῦντα τοῦ Κυρίλλου Ἀρειανισμόν, ἀλλαχοῦ τῆς Ἱστορίας αὐτοῦ (Δ', 25) λέγει, ὅτι ὁ Ἀκάκιος καὶ ὁ Κύριλλος ἦσαν ἐχθροί, ὅτι ὁ μὲν ἐτύγχανε δογματίζων τὰ Ἀρείου, ὁ δὲ Κύριλλος "τοῖς ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν εἰσηγουμένοις ἑπόμενος". Καὶ ταῦτα μὲν ἔμοιγε ἀσυμβίβαστα, σεβαστὸν δὲ τὸ ὑπὸ τῆς Β' οἰκουμεν. Συνόδου περὶ Κυρίλλου διαβεβαιούμενον ἐν τῇ πρὸς Δάμασον ἐπιστολῇ αὐτῆς, ἐν ᾗ λέγει. "Τῆς

---

[28] Κ. Κοντογόνου Πατρολογία, τόμ. Β', σελ. 251—2.

« δέ γε μητρὸς ἁπασῶν τῶν Ἐκκλησιῶν, τῆς ἐν Ἱερο-
« σολύμοις, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον Κύ-
« ριλλον ἐπίσκοπον εἶναι γνωρίζομεν, κανονικῶς τε
« παρὰ τῶν τῆς ἐπαρχίας χειροτονηθέντα πάλαι, καὶ
« πλεῖστα πρὸς τοὺς Ἀρειανοὺς ἐν διαφόροις τόποις
« ἀθλήσαντα». Τοιοῦτον ὀνομάζει τὸν Κύριλλον καὶ
ὁ Θεοδώρητος (Ε', 8), ὁ ἀκριβέστερον τῶν ἄλλων (ὡς
ὁ κριτικώτατος λέγει Φώτιος) τὰ περὶ τῆς Συνόδου
ταύτης ἱστορήσας. Ἔστω λοιπὸν ὀρθόδοξος ὁ Κύ-
ριλλος, ἐπειδὴ τοῦτο περὶ αὐτοῦ βεβαιοῖ ἡ Β' οἰκου-
μενικὴ Σύνοδος. Ἀλλά, τούτου τεθέντος, αἱ εἰς αὐτὸν
ἀποδιδόμεναι Κατηχήσεις, οὐκ εἰσὶν αἱ ὑπ' αὐτοῦ συγ-
γραφεῖσαι, ἀλλ' ἐξ ἅπαντος μεταπεποιημέναι ὑπό τινος
Ἀρειανοῦ, ἢ καὶ ὅλως ψευδεπίγραφοι. Εἰ δὲ μή, πῶς
συμβιβάζεται τὸ ἐν αὐταῖς ἑρμηνευόμενον Σύμβολον
πρὸς τὸ τῆς Νικαίας; πῶς δὲ ὁ Κύριλλος, ὁ τοῖς
εἰσηγουμένοις τὸν Υἱὸν ὁμοούσιον τῷ
Πατρὶ ἑπόμενος, ὁ πλεῖστα πρὸς τοὺς
Ἀρειανοὺς ἐν διαφόροις τόποις ἀθλή-
σας, ἠδύνατο φεύγειν τὸ ἐκφωνῆσαι τὸν ὅρον ὁμο-
ούσιος ἔν τε τῷ κειμένῳ τοῦ ἑρμηνευομένου Συμ-
βόλου, καὶ ἐν ταῖς Κατηχήσεσι, τοὐναντίον δὲ ὀνομά-
ζειν τὸν Υἱὸν ὅμοιον τῷ γεγεννηκότι, οἷον καὶ οἱ
Ἀρειανοὶ ἐπιμόνως ὡμολόγουν αὐτόν; Οὔτε καιρὸν
ἔχω, οὔτε τοῦ προκειμένου ἐστὶ τὸ ἐπιμελέστερον
ἐξετάσαι περὶ τοῦ σπουδαίου τούτου πράγματος, εἰ

συμβιβάσαι τὸν Ἄρειον πρὸς αὐτήν, καὶ ἐντεῦθεν Ἡμιάρειοι ἢ Ἡμιαρειανοὶ ἐπικληθέντες.[24] Ἀλλ' ἡ Σύνοδος οὐδαμῶς ἀποδεξαμένη τὰς προβαλλομένας ταύτας συνθηκολογίας ὑπὸ τῶν πρὸς εἰρήνευσιν μεσολαβούντων, ὧν προεξῆρχεν ὁ περίφημος Εὐσέβιος ὁ Παμφίλου, ὁ Καισαρείας Ἐπίσκοπος, ἀνεκήρυξε τὸν Υἱὸν τοῦ Θεοῦ ὁμοούσιον τῷ Πατρί, πανηγυρικῶς καὶ ὁμοφώνως ἀναθεματίσασα τοὺς λέγοντας, "ἦν ποτε, ὅτε οὐκ ἦν, κ. τ. λ." Οὐ μόνον δὲ ὁ ὅρος ὁμοούσιος οὐδαμοῦ τοῦ Κυριλλείου καλουμένου Συμβόλου καὶ τῶν Κατηχήσεων εὕρηται, ἀλλὰ καὶ αὐτὸ τῆς ἐν

[24] Ἴδε περὶ τούτων τὴν Ἐκκλ. Ἱστορ. Κ. Κοντογόνου, τόμ. Α'. σελ. 507—8. Τὴν ἔλλειψιν τοῦ ὅρου ὁμοούσιος ἐν τῷ Συμβόλῳ τῷ ἐν ταῖς Κατηχήσεσι ταύταις ἑρμηνευομένῳ καὶ ἄλλοι παρετήρησαν, ἐν οἷς καὶ ὁ πολὺς J. Bingham ἐν τῷ περιωνύμῳ αὐτοῦ συγγράμματι—The Antiquities of the Christian Church (Book X. ch., IV)· ἔνθα δικαιολογῶν τὴν ἔλλειψιν ταύτην λέγει, ὅτι ὁ Κύριλλος ἡρμήνευεν, ὡς φαίνεται, τὸ ἀρχαῖον Σύμβολον τῶν Ἱεροσολύμων, καὶ ἅμα παρατηρεῖ, ὅτι τὰ ἐν τῇ Ἀνατολῇ ἐπικρατοῦντα Σύμβολα περιεῖχον ἀνέκαθεν τὰ μετὰ τὴν ὁμολογίαν τῆς εἰς τὸ ἅγιον Πνεῦμα πίστεως προστιθέμενα, τουτέστι τὴν καθολικὴν Ἐκκλησίαν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, τὴν σαρκὸς ἀνάστασιν καὶ τὴν αἰώνιον ζωήν. Ἀλλ' ἐπλανήθη, νομίζω, ἐν τούτῳ ὁ ἀληθῶς θαυμαστὸς ἐκεῖνος ἀνήρ· διότι πρῶτον μὲν οὐδὲν τῶν ἐν τῇ Ἀνατολῇ Συμβόλων περιεῖχεν ὡς ἄρθρα πίστεως τὰς προσθήκας ταύτας· ἔπειτα δέ, πῶς ἠδύνατο ὁ Κύριλλος ἢ ἄλλος ὀρθόδοξος κατηχητὴς ἑρμηνεύειν τοῖς κατηχουμένοις ἄλλο ἢ τὸ καθ' ὃ ἐβαπτίζοντο Σύμβολον, ὅπερ ἦν τὸ ἐν Νικαίᾳ; πῶς μετὰ τὸ φρικτὸν ἀνάθεμα τῆς μεγάλης ἐκείνης Συνόδου κατὰ πάντων τῶν μὴ ὁμολογούντων τὸν Υἱὸν συνάναρχον καὶ ὁμοούσιον τῷ Πατρὶ ἠδύνατο ἑρμηνεύειν τοῖς κατηχουμένοις Σύμβολον, ἐν ᾧ προφανῶς ἀποδοκιμάζεται ὁ ὅρος οὗτος; Μόνος Ἀρειανὸς κατηχητὴς ἠδύνατο τοῦτο ποιῆσαι τριάκοντα ἔτη μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον, θαῤῥῶν τῇ προστασίᾳ τοῦ τὸν

Νικαίᾳ Συνόδου τὸ ὄνομα οὐδαμοῦ μνημονεύεται, εἰ καὶ αἱ Κατηχήσεις αὗται ἐγένοντο καὶ ἐγράφησαν 30 περίπου ἔτη μετὰ τὴν Σύνοδον ἐκείνην, ἣν ἅπαντες οἱ Πατέρες ἀνευφήμησαν καὶ ἀνεκήρυξαν στήλην ὀρθοδοξίας καὶ στηλογραφίαν κατὰ πάσης αἱρέσεως, πανταχοῦ τῶν συγγραμμάτων αὐτῶν, ὡς προϊόντες ὀψόμεθα, μόνην τὴν ὑπ' ἐκείνης δεδομένην πίστιν ἀποδεχόμενοι καὶ διδάσκοντες, τοὺς δὲ παρ' ἐκείνην φρονοῦντας ἀποστρεφόμενοι καὶ ἀποκηρύττοντες, ὡς ἀλλοτρίους καὶ τοῦ Θεοῦ καὶ τῆς καθολικῆς Ἐκκλησίας. Ὃ δὲ πάντων μάλιστα τρανῶς ἀποδείκνυσιν, ὅτι Ἀρειανὸς ἦν ὁ συγγραφεὺς τῶν Κατηχήσεων ἐκείνων, τοῦτό μοι σκόπει· ἐν γὰρ τῇ ἕκτῃ Κατηχήσει περὶ αἱρέσεων διδά-

---

Κωνσταντῖνον διαδεχθέντος Κωνσταντίου, οὐχὶ δὲ ὀρθόδοξος, τὸ ἐν Νικαίᾳ Σύμβολον ἀποδεξάμενος καὶ κατ' ἐκεῖνο βαπτίζων. "Δεῖ γὰρ ἡμᾶς (λέγει ὁ μέγας Βασίλειος, ὡς εὐθὺς ἐφεξῆς ὀψόμεθα) βαπτίζεσθαι μὲν ὡς παρελάβομεν, π ι σ τ ε ύ ε ι ν δὲ ὡς βαπτιζόμεθα." Διὰ τοῦτο ὁ μέγας ἐκεῖνος τῆς Ἐκκλησίας Πατὴρ ἐκήρυττεν, ὅτι πάντες ὀφείλουσι διδάσκεσθαι μόνην τὴν ἐν Νικαίᾳ πίστιν, ὡς καὶ ὁ Ἀθανάσιος καὶ Γρηγόριος ὁ Θεολόγος, οἱ τῷ Κυρίλλῳ σύγχρονοι. Καὶ λοιπὸν παρὰ τὴν κοινὴν καὶ πάνδημον τῆς ὀρθοδόξου Ἐκκλησίας διδασκαλίαν ὁ Κύριλλος ἐδίδασκε τοὺς ἐν Ἱεροσολύμοις κατηχουμένους ἄλλο ἢ τὸ ἐν Νικαίᾳ Σύμβολον, καθ' ὃ ἐβαπτίζοντο, καὶ μάλιστα Σύμβολον, ὅλως πρὸς ἐκεῖνο ἀντίθετον; Καὶ ταῦτα πράττων ὁ Κύριλλος ἦν ἄξιος συναριθμεῖσθαι τοῖς μεγάλοις ἐκείνοις διδασκάλοις τῆς Ἐκκλησίας; Τοῦτο οὐδείς, νομίζω, ἀποδέξεται, ἀλλ' ἐξ ἅπαντος πᾶς τις ὀρθῶς σκεπτόμενος ἀναφωνήσει τοῖς τὸ Σύμβολον τοῦ Κυρίλλου εἰς ὑποστήριξιν τῆς εἰς τὴν Ἐκκλησίαν πίστεως προβαλλομένοις· "ἢ τὸν Κύριλλον ἀποκλείσατε τοῦ θείου συλλόγου τῶν τῆς ὀρθοδοξίας διδασκάλων, ἢ τὰς εἰς ὄνομα αὐτοῦ σωζομένας Κατηχήσεις ἀποκηρύξατε ὡς ὑπό τινος Ἀρειανοῦ παρεφθαρμένας, ἢ καὶ ὅλως ψευδεπιγράφους."

σκων, καὶ ἄλλας ἀπαριθμῶν καὶ κατακρίνων, οὐδὲν λέγει περὶ Ἀρείου καὶ τῆς αἱρέσεως αὐτοῦ, τῆς τότε καταλυμαινομένης τὴν Ἐκκλησίαν, τῆς ὑπὸ τῆς Α′ οἰκουμενικῆς Συνόδου οὕτω πανδήμως κατακριθείσης καὶ ἀναθεματισθείσης, τῆς ὑπὸ τοῦ μεγάλου Ἀθανασίου καὶ τῶν ἄλλων συγχρόνων τῆς Ἐκκλησίας Πατέρων στεῤῥῶς πολεμουμένης, τῆς τοσοῦτον ἐν ἑνὶ λόγῳ τάραχον ἀνὰ πᾶσαν τὴν Ἀνατολὴν καὶ Δύσιν ἐξεγειράσης, ὅσον οὐδεμία ἄλλη τῶν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ λυμηναμένων αἱρέσεων. Παρατηρητέον δὲ πρὸς τούτοις ὅτι μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον, καὶ μάλιστα μετὰ τὸν θάνατον τοῦ μεγάλου Κωνσταντίνου, οἱ Ἀρειανοὶ ἀναφανδὸν προστατευόμενοι ὑπὸ Κωνσταντίου τοῦ υἱοῦ καὶ διαδόχου ἐκείνου, πάντα λίθον ἐκίνησαν, ὅπως κατορθώσωσι τὴν ἐξάλειψιν τοῦ ὅρου ὁμοούσιος ἀπὸ τοῦ Συμβόλου τῆς Νικαίας, καὶ βοηθείᾳ τοῦ αὐτοκράτορος ἀλλεπαλλήλους συνεκρότησαν Συνόδους, τήν τε ἐν Σαρδικῇ, καὶ τὴν ἐν Μεδιολάνῳ, καὶ τὴν ἐν Ἀριμίνῳ, καὶ ἄλλας ἀλλαχοῦ (περὶ ὧν ἀκριβῶς διηγεῖται ὁ Θεοδώρητος ἐν τῷ Β′ βιβλίῳ τῆς Ἐκκλησ. Ἱστορίας αὐτοῦ), πάντα μηχανώμενοι, ὅπως ἀναγκάσωσι τοὺς ἐν αὐταῖς συνερχομένους Ἐπισκόπους εἰς τὸ μετατρέψαι τὸ ἐν Νικαίᾳ Σύμβολον·[25] ἀλλ' οὐδὲν ἤνυσαν, ἐπιμόνως ἀρνουμένων

---

[25] Ἴδε τὰ περὶ τῶν Συνόδων τούτων καὶ ἐν τῇ Ἐκκλησιαστ. Ἱστορ. Κ. Κοντογόνου, τόμ. Α′, σελ. 526 κ. ἑξ.

Νικαίᾳ Συνόδου τὸ ὄνομα οὐδαμοῦ μνημονεύεται, εἰ καὶ αἱ Κατηχήσεις αὗται ἐγένοντο καὶ ἐγράφησαν 30 περίπου ἔτη μετὰ τὴν Σύνοδον ἐκείνην, ἣν ἅπαντες οἱ Πατέρες ἀνευφήμησαν καὶ ἀνεκήρυξαν στήλην ὀρθοδοξίας καὶ στηλογραφίαν κατὰ πάσης αἱρέσεως, πανταχοῦ τῶν συγγραμμάτων αὐτῶν, ὡς προϊόντες ὀψόμεθα, μόνην τὴν ὑπ' ἐκείνης δεδομένην πίστιν ἀποδεχόμενοι καὶ διδάσκοντες, τοὺς δὲ παρ' ἐκείνην φρονοῦντας ἀποστρεφόμενοι καὶ ἀποκηρύττοντες, ὡς ἀλλοτρίους καὶ τοῦ Θεοῦ καὶ τῆς καθολικῆς Ἐκκλησίας. Ὃ δὲ πάντων μάλιστα τρανῶς ἀποδείκνυσιν, ὅτι Ἀρειανὸς ἦν ὁ συγγραφεὺς τῶν Κατηχήσεων ἐκείνων, τοῦτό μοι σκόπει· ἐν γὰρ τῇ ἕκτῃ Κατηχήσει περὶ αἱρέσεων διδά-

---

Κωνσταντῖνον διαδεχθέντος Κωνσταντίου, οὐχὶ δὲ ὀρθόδοξος, τὸ ἐν Νικαίᾳ Σύμβολον ἀποδεξάμενος καὶ κατ' ἐκεῖνο βαπτίζων. "Δεῖ γὰρ ἡμᾶς (λέγει ὁ μέγας Βασίλειος, ὡς εὐθὺς ἐφεξῆς ὀψόμεθα) βαπτίζεσθαι μὲν ὡς παρελάβομεν, πιστεύειν δὲ ὡς βαπτιζόμεθα." Διὰ τοῦτο ὁ μέγας ἐκεῖνος τῆς Ἐκκλησίας Πατὴρ ἐκήρυττεν, ὅτι πάντες ὀφείλουσι διδάσκεσθαι μόνην τὴν ἐν Νικαίᾳ πίστιν, ὡς καὶ ὁ Ἀθανάσιος καὶ Γρηγόριος ὁ Θεολόγος, οἱ τῷ Κυρίλλῳ σύγχρονοι. Καὶ λοιπὸν παρὰ τὴν κοινὴν καὶ πάνδημον τῆς ὀρθοδόξου Ἐκκλησίας διδασκαλίαν ὁ Κύριλλος ἐδίδασκε τοὺς ἐν Ἱεροσολύμοις κατηχουμένους ἄλλο ἢ τὸ ἐν Νικαίᾳ Σύμβολον, καθ' ὃ ἐβαπτίζοντο, καὶ μάλιστα Σύμβολον, ὅλως πρὸς ἐκεῖνο ἀντίθετον; Καὶ ταῦτα πράττων ὁ Κύριλλος ἦν ἄξιος συναριθμεῖσθαι τοῖς μεγάλοις ἐκείνοις διδασκάλοις τῆς Ἐκκλησίας; Τοῦτο οὐδείς, νομίζω, ἀποδέξεται, ἀλλ' ἐξ ἅπαντος πᾶς τις ὀρθῶς σκεπτόμενος ἀναφωνήσει τοῖς τὸ Σύμβολον τοῦ Κυρίλλου εἰς ὑποστήριξιν τῆς εἰς τὴν Ἐκκλησίαν πίστεως προβαλλομένοις· "ἢ τὸν Κύριλλον ἀποκλείσατε τοῦ θείου συλλόγου τῶν τῆς ὀρθοδοξίας διδασκάλων, ἢ τὰς εἰς ὄνομα αὐτοῦ σωζομένας Κατηχήσεις ἀποκηρύξατε ὡς ὑπό τινος Ἀρειανοῦ παρεφθαρμένας, ἢ καὶ ὅλως ψευδεπιγράφους."

(337—361), ἀκριβῶς καθ' οὓς χρόνους ἐγράφησαν αἱ λεγόμεναι Κατηχήσεις τοῦ Κυρίλλου.[27] Ἀλλ' ὅμως ἐν ταῖς Κατηχήσεσι ταύταις τὸ μὲν ὑπὸ πάντων τῶν ὀρθοδόξων ἐπισκόπων ἐν διωγμοῖς καὶ θλίψεσι καρτερικῶς ὑποστηριζόμενον Σύμβολον τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ ὁ ὅρος ὁμοούσιος, καὶ αὐτὸ τῆς Συνόδου τὸ ὄνομα, οὐδ' ὁπωστιοῦν μνημονεύονται· τὸ δὲ Ἀρειανὸν Σύμβολον ἑρμηνεύεται ἐν αὐταῖς, καί, τὸ δὴ λεγόμενον, γυμνῇ τῇ κεφαλῇ ἀποκαλεῖται ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ κατὰ τὸν τῶν Ἀρειανῶν ὅρον ὅμοιος τῷ γεγεννηκότι· καὶ ἐν τῇ ἕκτῃ Κατηχήσει, ἐν ᾗ αἱ ἄλλαι αἱρέσεις μνημονεύονται καὶ καταχρίνονται, μόνη ἡ τοῦ Ἀρείου οὔτε μνημονεύεται οὔτε καταχρίνεται. Ταῦτα τίς ἄλλος ἢ Ἀρειανὸς ἠδύνατο συγ-

---

[27] *Ἀλλὰ δυστυχῶς αἱ σκευωρίαι αὗται τῶν Ἀρειανῶν καὶ αἱ καταπιέσεις τῶν ὀρθοδόξων οὐ κατέπαυσαν μετὰ τὸν θάνατον τοῦ Ἀρειανοφίλου τούτου αὐτοκράτορος· διότι καὶ οἱ μετ' αὐτὸν τρεῖς αὐτοκράτορες, Ἰουλιανὸς ὁ παραβάτης, Ἰωβιανὸς καὶ Οὐάλης, οὐχ ἧττον ἐκείνου κατεδίωξαν τοὺς ὀρθοδόξους, ἐκθύμως ὑπὲρ τῆς ἀληθοῦς πίστεως ἀμυνομένους, καὶ καρτερικῶς ὑπομένοντας τῶν Ἀρειανῶν τὰς ὕβρεις καὶ τῶν Ἀρειανιζόντων βασιλέων τοὺς διωγμοὺς καὶ τὰς παντοίας καταπιέσεις. Γνωστὴ πρὸς πολλοῖς ἄλλοις ἐστὶν ἡ θαυμαστὴ καρτερία τοῦ μεγάλου Βασιλείου κατὰ τῶν ὑποσχέσεων καὶ ἀπειλῶν τοῦ αὐτοκράτορος Οὐάλεντος, ἀποστείλαντος ἐπίτηδες εἰς Καισάρειαν τὸν ὕπαρχον Μόδεστον, ὅπως πείσῃ ἢ ἀναγκάσῃ τὸν Βασίλειον κοινωνῆσαι τοῖς Ἀρειανοῖς, καὶ ἀπειθοῦντα ἐξελάσῃ αὐτὸν τῆς Ἐπισκοπῆς. Ταύτην λαβὼν ὁ Μόδεστος τὴν ἐντολὴν ἀφίκετο εἰς Καισάρειαν, καὶ πολλὰ πρὸς τὸν Βασίλειον ὑπέσχετο, ἐπὶ δὲ πᾶσι καὶ τὴν τοῦ βασιλέως φιλίαν· ἀλλ' ὁ θαυμάσιος ἐκεῖνος καὶ μέγας τῆς ὀρθοδοξίας πρόμαχος εὐτόλμως ἀπεκρίνατο τῷ ὑπάρχῳ. « Οἱ τοῖς θείοις*

γράψαι τότε, τριάκοντα δηλονότι ἔτη μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον, τὴν πανδήμως ἀναθεματίσασαν καὶ τὸν Ἄρειον καὶ πάντας τοὺς μὴ ὁμολογοῦντας τὸν Υἱὸν συνάναρχον καὶ συναΐδιον καὶ ὁμοούσιον τῷ Πατρί;

Διάφοροι γνῶμαι περὶ τῆς Κυρίλλου ὀρθοδοξίας.

Καὶ λοιπόν, εἴποις ἄν, Ἀρειανὸς ἦν ὁ Ἱεροσολύμων Κύριλλος; Περὶ τούτου πολλὰ ὑπὸ πολλῶν ἐγράφησαν, ἐξ ὧν παρατίθεμαί σοι τὰ ὑπὸ Σωκράτους ἐν τῇ Ἐκκλησιαστικῇ αὐτοῦ Ἱστορίᾳ (Ε', 8), ἔνθα τὰ περὶ τῆς Β' οἰκουμεν. Συνόδου ἱστορῶν λέγει. "Μηδὲν « δὲ ὁ βασιλεὺς ὑπερθέμενος, Σύνοδον ἐπισκόπων τῆς « αὐτοῦ πίστεως συγκαλεῖ ἐπὶ τὸ κρατῦναι τὴν « ἐν Νικαίᾳ πίστιν... Συνῆλθον οὖν τῆς μὲν « ὁμοουσίου πίστεως, ἐκ μὲν Ἀλεξανδρείας Τιμόθεος, « ἐκ δὲ Ἱεροσολύμων Κύριλλος, τότε (δηλ. τὸ 381) « πρῶτον ἐκ μεταμελείας τῷ ὁμοουσίῳ « προσκείμενος". Οὐ μόνον δὲ ὁ Σωκράτης, ἀλλὰ καὶ ὁ Σωζόμενος (Ζ', 7) τὰ αὐτὰ ἱστορεῖ περὶ Κυρίλλου, καὶ ἄλλοι, ὧν μνημονεύει ὁ Κύριος Κοντο-

---

« λόγοις ἐντεθραμμένοι προέσθαι μὲν τῶν θείων δογμάτων οὐδὲ μίαν ἀνέ- « χονται συλλαβήν· ὑπὲρ δὲ τούτων καὶ πάσας, εἰ δέοι, τοῦ θανάτου τὰς ἰδέας « ἀσπάζονται· τὴν δὲ βασιλέως φιλίαν μέγα μὲν ἡγοῦμαι μετ' εὐσεβείας, « ἄνευ δὲ ταύτης ὀλεθρίαν ἀποκαλῶ.» Ἀγανακτήσαντος δ' ἐπὶ τούτοις τοῦ ὑπάρχου, καὶ θάνατον αὐτῷ ἀπειλήσαντος, « γένοιτό μοι, εἶπεν ὁ θεῖος « Πατήρ, διὰ τὴν ἀλήθειαν ἀπαλλαγῆναι τῶν δεσμῶν τοῦ σώματος."— Θεοδώρητος ἐν Ἐκκλ. Ἱστορ. Δ'. ιθ'. ἔπιθι δὲ καὶ τὸν Βασιλείου βίον ἐν τῇ Πατρολογίᾳ τοῦ Κυρίου Κοντογόνου, τόμ. Β', σελ. 367 κ. ἑξ. ἔτι δὲ καὶ τὴν Ἐκκλ. Ἱστορ. τοῦ αὐτοῦ, τόμ. Α', σελ. 545—6.

γόνης ἐν τῷ βίῳ τοῦ Κυρίλλου,[28] καὶ ἐξ ὧν ὀνομάζω σοι δύο συγχρόνους αὐτῷ, τὸν Ἱερώνυμον καὶ τὸν Ῥουφῖνον. Τούτων ὁ μὲν πρῶτος ἐν τῷ Χρονικῷ αὐτοῦ συγκαταλέγει τὸν Κύριλλον μετὰ τῶν Ἀρειανῶν Ἐπισκόπων, Εὐτυχίου, Εἰρηναίου καὶ Ἱλαρίου, ὁ δὲ δεύτερος λέγει ἐν τῇ Ἐκκλησ. αὐτοῦ Ἱστορίᾳ, ὅτι ὁ Κύριλλος διέφερεν ἐνίοτε περὶ τὴν πίστιν, "sæpius in communione variabat." Τούτοις δὲ προσθετέον, ὅτι καὶ ἐν τῇ Φωτίου Μυριοβίβλῳ (ἀνάγν. 258, σελ. 482, ἔκδ. Βεκκέρου) ἱστορεῖται ἐξ ἑτέρου συγγραφέως, τοῦ τὸν βίον Παύλου τοῦ Ὁμολογητοῦ συγγράψαντος, ὅτι « Γεώργιος ὁ τῆς Ἀλεξανδρέων πόλεως ἁρπάσας τὸν « θρόνον, ἅμα τοῖς περὶ Ἀκάκιον καὶ Πετρόφιλον, οἱ » τῆς Ἀρείου φατρίας, ἐξωθήσαντες Ἱεροσολύμων τὸν « ὁμολογητὴν Μάξιμον, ἀντεισάγουσι Κύριλλον". Ἀλλ' ὅμως αὐτὸς ὁ Σωζόμενος, ὃν ἄρτι εἴδομεν κατηγοροῦντα τοῦ Κυρίλλου Ἀρειανισμόν, ἀλλαχοῦ τῆς Ἱστορίας αὐτοῦ (Δ', 25) λέγει, ὅτι ὁ Ἀκάκιος καὶ ὁ Κύριλλος ἦσαν ἐχθροί, ὅτι ὁ μὲν ἐτύγχανε δογματίζων τὰ Ἀρείου, ὁ δὲ Κύριλλος "τοῖς ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν εἰσηγουμένοις ἑπόμενος". Καὶ ταῦτα μὲν ἔμοιγε ἀσυμβίβαστα, σεβαστὸν δὲ τὸ ὑπὸ τῆς Β' οἰκουμεν. Συνόδου περὶ Κυρίλλου διαβεβαιούμενον ἐν τῇ πρὸς Δάμασον ἐπιστολῇ αὐτῆς, ἐν ᾗ λέγει. "Τῆς

---

[28] Κ. Κοντογόνου Πατρολογία, τόμ. Β', σελ. 251—2.

γράψαι τότε, τριάκοντα δηλονότι ἔτη μετὰ τὴν ἐν Νικαίᾳ Σύνοδον, τὴν πανδήμως ἀναθεματίσασαν καὶ τὸν Ἄρειον καὶ πάντας τοὺς μὴ ὁμολογοῦντας τὸν Υἱὸν συνάναρχον καὶ συναΐδιον καὶ ὁμοούσιον τῷ Πατρί;

Διάφοροι γνῶμαι περὶ τῆς Κυρίλλου ὀρθοδοξίας.

Καὶ λοιπόν, εἴποις ἄν, Ἀρειανὸς ἦν ὁ Ἱεροσολύμων Κύριλλος; Περὶ τούτου πολλὰ ὑπὸ πολλῶν ἐγράφησαν, ἐξ ὧν παρατίθεμαί σοι τὰ ὑπὸ Σωκράτους ἐν τῇ Ἐκκλησιαστικῇ αὐτοῦ Ἱστορίᾳ (Ε′, 8), ἔνθα τὰ περὶ τῆς Β′ οἰκουμεν. Συνόδου ἱστορῶν λέγει. "Μηδὲν « δὲ ὁ βασιλεὺς ὑπερθέμενος, Σύνοδον ἐπισκόπων τῆς « αὐτοῦ πίστεως συγκαλεῖ ἐπὶ τὸ κρατῦναι τὴν « ἐν Νικαίᾳ πίστιν... Συνῆλθον οὖν τῆς μὲν « ὁμοουσίου πίστεως, ἐκ μὲν Ἀλεξανδρείας Τιμόθεος, « ἐκ δὲ Ἱεροσολύμων Κύριλλος, τότε (δηλ. τὸ 381) « πρῶτον ἐκ μεταμελείας τῷ ὁμοουσίῳ « προσκείμενος". Οὐ μόνον δὲ ὁ Σωκράτης, ἀλλὰ καὶ ὁ Σωζόμενος (Ζ′, 7) τὰ αὐτὰ ἱστορεῖ περὶ Κυρίλλου, καὶ ἄλλοι, ὧν μνημονεύει ὁ Κύριος Κοντο-

---

« λόγοις ἐντεθραμμένοι προΐεσθαι μὲν τῶν θείων δογμάτων οὐδὲ μίαν ἀνέ-« χονται συλλαβήν· ὑπὲρ δὲ τούτων καὶ πάσας, εἰ δέοι, τοῦ θανάτου τὰς ἰδέας « ἀσπάζονται· τὴν δὲ βασιλέως φιλίαν μέγα μὲν ἡγοῦμαι μετ' εὐσεβείας, « ἄνευ δὲ ταύτης ὀλεθρίαν ἀποκαλῶ.» Ἀγανακτήσαντος δ' ἐπὶ τούτοις τοῦ ὑπάρχου, καὶ θάνατον αὐτῷ ἀπειλήσαντος, « γένοιτό μοι, εἶπεν ὁ θεῖος « Πατήρ, διὰ τὴν ἀλήθειαν ἀπαλλαγῆναι τῶν δεσμῶν τοῦ σώματος."— Θεοδώρητος ἐν Ἐκκλ. Ἱστορ. Δ′. ιθ′. ἔπιθι δὲ καὶ τὸν Βασιλείου βίον ἐν τῇ Πατρολογίᾳ τοῦ Κυρίου Κοντογόνου, τόμ. Β′, σελ. 367 κ. ἑξ. ἔτι δὲ καὶ τὴν Ἐκκλ. Ἱστορ. τοῦ αὐτοῦ, τόμ. Α′, σελ. 545—6.

δηλονότι αἱ νῦν ὑπὸ τὸ ὄνομα τοῦ Κυρίλλου σωζόμεναι Κατηχήσεις εἰσὶν αἱ ὑπ' ἐκείνου διδαχθεῖσαι καὶ ἐκδοθεῖσαι, ἢ νενοθευμέναι τινὲς καὶ ἐπὶ τὸ Ἀρειανικώτερον μεταπεποιημέναι. Ὅ,τι δὲ πρόχειρον ἔχω, ἐξ οὗ καὶ εἰκάζω, ὅτι νενοθευμέναι εἰσί, τοῦτο μόνον λέγω· ὅτι δηλαδὴ μικρόν τι ἀπόσπασμα τῆς δευτέρας Κατηχήσεως, ἀναγνωσθὲν ἐν τῇ πέμπτῃ συνεδριάσει τῆς Ζ' οἰκουμεν. Συνόδου, πολὺ διαφέρει τοῦ ἐν ταῖς ἐκδόσεσι τῶν Κατηχήσεων ἀναγινωσκομένου. Ἀλλὰ περὶ μὲν τούτου ἄλλοι κρινάτωσαν· διότι οὐκ ἐμὸν οὐδὲ τοῦ προκειμένου ἡ περὶ τούτου ἐξέτασις. Τοσοῦτο δὲ μόνον προσθεὶς καταπαύσω τὴν περὶ Κυρίλλου ἐξέτασιν· ὅτι ἐμήκυνα πέρα τοῦ δέοντος ἴσως τὸν περὶ αὐτοῦ λόγον, διότι ἐν τοῖς ἑξῆς (Μέρος Β') εὑρήσεις, ὅτι αἱ Ἀρειαναὶ αὗται Κατηχήσεις ἀποτελοῦσι τὸ μέγα καὶ ἰσχυρὸν κῦρος, μᾶλλον δ' εἰπεῖν τὸ μόνον κῦρος, τῶν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου ἐννοούντων τὸ ῥῆμα "πιστεύω". Οὕτως εἶπε (λέγουσιν) ὁ Ἱεροσολύμων Κύριλλος. Σὺ δὲ τίς εἶ ὁ τηλικούτῳ τῆς Ἐκκλησίας Πατρὶ ἐναντία λέγων; Παραθήσομαί σοι δὲ ἐν τέλει καὶ τὴν πρὸς ἐμὲ ἐπιστολὴν τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Σύρου, ἐν ᾗ ἀναγνώσῃ, ὅτι ὁ Κύριλλος οὗτός ἐστι τὸ μόνον κῦρος, καθ' ὃ μοι ἀπεδόθη τὸ ἀπαίσιον ὄνομα αἱρετικός. Καὶ ὤφειλε μὲν μᾶλλον ὁ Σεβασμιώτατος Ἀρχιεπίσκοπος ἄλλον ἀντιτάξαι μοι τῶν Πατέρων τῆς Ἐκκλησίας, τὸν ἱερὸν

« δέ γε μητρὸς ἁπασῶν τῶν Ἐκκλησιῶν, τῆς ἐν Ἱερο-
« σολύμοις, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον Κύ-
« ριλλον ἐπίσκοπον εἶναι γνωρίζομεν, κανονικῶς τε
« παρὰ τῶν τῆς ἐπαρχίας χειροτονηθέντα πάλαι, καὶ
« πλεῖστα πρὸς τοὺς Ἀρειανοὺς ἐν διαφόροις τόποις
« ἀθλήσαντα ”. Τοιοῦτον ὀνομάζει τὸν Κύριλλον καὶ
ὁ Θεοδώρητος (Ε′, 8), ὁ ἀκριβέστερον τῶν ἄλλων (ὡς
ὁ κριτικώτατος λέγει Φώτιος) τὰ περὶ τῆς Συνόδου
ταύτης ἱστορήσας. Ἔστω λοιπὸν ὀρθόδοξος ὁ Κύ-
ριλλος, ἐπειδὴ τοῦτο περὶ αὐτοῦ βεβαιοῖ ἡ Β′ οἰκου-
μενικὴ Σύνοδος. Ἀλλά, τούτου τεθέντος, αἱ εἰς αὐτὸν
ἀποδιδόμεναι Κατηχήσεις, οὐκ εἰσὶν αἱ ὑπ᾽ αὐτοῦ συγ-
γραφεῖσαι, ἀλλ᾽ ἐξ ἅπαντος μεταπεποιημέναι ὑπό τινος
Ἀρειανοῦ, ἢ καὶ ὅλως ψευδεπίγραφοι. Εἰ δὲ μή, πῶς
συμβιβάζεται τὸ ἐν αὐταῖς ἑρμηνευόμενον Σύμβολον
πρὸς τὸ τῆς Νικαίας; πῶς δὲ ὁ Κύριλλος, ὁ τοῖς
εἰσηγουμένοις τὸν Υἱὸν ὁμοούσιον τῷ
Πατρὶ ἑπόμενος, ὁ πλεῖστα πρὸς τοὺς
Ἀρειανοὺς ἐν διαφόροις τόποις ἀθλή-
σας, ἠδύνατο φεύγειν τὸ ἐκφωνῆσαι τὸν ὅρον ὁμο-
ούσιος ἔν τε τῷ κειμένῳ τοῦ ἑρμηνευομένου Συμ-
βόλου, καὶ ἐν ταῖς Κατηχήσεσι, τοὐναντίον δὲ ὀνομά-
ζειν τὸν Υἱὸν ὅμοιον τῷ γεγεννηκότι, οἷον καὶ οἱ
Ἀρειανοὶ ἐπιμόνως ὡμολόγουν αὐτόν; Οὔτε καιρὸν
ἔχω, οὔτε τοῦ προκειμένου ἐστὶ τὸ ἐπιμελέστερον
ἐξετάσαι περὶ τοῦ σπουδαίου τούτου πράγματος, εἰ

« ὁμοούσιον, ἀεὶ οὖσαν τῆς αὐτῆς ταυτότητος, τῆς « αὐτῆς κυριότητος”. Καὶ ταῦτα μὲν λέγει ἐν αἱρέσει ΝΖ′ καὶ ἐφεξῆς, πανταχοῦ μόνην τὴν ἐν Νικαίᾳ πίστιν κηρύσσων καὶ κρατύνων. Ἐν δὲ τῇ ΛΑ′ ἐξ Εἰρηναίου τοῦ Λουγδούνων Ἐπισκόπου τὴν τῆς Ἐκκλησίας πίστιν ὁρίζων, αὐταῖς λέξεσι τὴν ἐκείνου μεταγράφει διδασκαλίαν, ἣν κἀγὼ ἐνταῦθα παραθήσομαί σοι, ὡς μέλλων ἐφεξῆς καὶ περὶ τοῦ Εἰρηναίου αὐτοῦ λόγον ποιήσασθαι, ὅταν τὰ πρὸ τῆς ἐν Νικαίᾳ Συνόδου κατὰ τόπους ἐπικρατοῦντα Σύμβολα ἐξετάσωμεν, ὅπως ἴδωμεν, ὅτι οὐδ᾽ ἐν ἐκείνοις ἐδιδάσκετο πιστεύειν εἰς τὴν Ἐκκλησίαν. Λέγει λοιπὸν ὁ Εἰρηναῖος, καὶ ἐξ αὐτοῦ ὁ Ἐπιφάνιος τάδε περὶ τοῦ ἀληθοῦς κανόνος τῆς πίστεως.—“Ἡ μὲν γὰρ Ἐκκλησία, καίπερ καθ᾽ ὅλης « τῆς οἰκουμένης ἕως περάτων τῆς γῆς διεσπαρμένη, « παρὰ δὲ τῶν Ἀποστόλων καὶ τῶν ἐκείνων μαθητῶν « παραλαβοῦσα τὴν εἰς ἕνα Θεὸν Πατέρα παντοκρά- « τορα, τὸν πεποιηκότα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ « τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐτοῖς πίστιν· καὶ εἰς « ἕνα Χριστὸν Ἰησοῦν, τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν σαρκω- « θέντα ὑπὲρ τῆς ἡμετέρας σωτηρίας· καὶ εἰς Πνεῦμα « ἅγιον, τὸ διὰ τῶν Προφητῶν κεκηρυχὸς « τὰς οἰκονομίας καὶ τὰς ἐλεύσεις, καὶ « τὴν ἐκ Παρθένου γέννησιν, καὶ τὸ πάθος καὶ τὴν « ἔγερσιν ἐκ νεκρῶν, καὶ τὴν ἔνσαρκον εἰς οὐρανοὺς « ἀνάληψιν τοῦ ἠγαπημένου Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου

« ἡμῶν, καὶ τὴν ἐκ τῶν οὐρανῶν ἐν τῇ δόξῃ τοῦ Πα-
« τρὸς παρουσίαν αὐτοῦ ἐπὶ τὸ ἀνακεφαλαιώσασθαι τὰ
« πάντα... τοῦτο τὸ κήρυγμα παρειληφυῖα καὶ ταύτην
« τὴν πίστιν, ὡς προέφαμεν, ἡ Ἐκκλησία, καίπερ ἐν
« ὅλῳ τῷ Κόσμῳ διεσπαρμένη, ἐπιμελῶς φυλάσσει, ὡς
« ἕνα οἶκον οἰκοῦσα· καὶ ὁμοίως πιστεύει τούτοις, ὡς
« μίαν ψυχὴν καὶ τὴν αὐτὴν ἔχουσα καρδίαν, καὶ συμ-
« φώνως ταῦτα κηρύσσει καὶ διδάσκει καὶ παραδίδωσιν,
« ὡς ἓν στόμα κεκτημένη, κ. τ. λ." Αὕτη λοιπόν ἐστιν
ἡ πίστις, ἣν καὶ ὁ ἱερὸς Ἐπιφάνιος παραδίδωσι, τὴν
εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα· οὐδὲν τούτου
πλέον, οὐδὲν τούτου ἔλαττον. Περὶ δὲ Ἐκκλησίας
λέγει ἐν τέλει τοῦ αὐτοῦ συγγράμματος, ὅτι "ἐστὶ
« σὺν τῷ Ἀδὰμ πεπλασμένη, καὶ ἐν τοῖς πρὸ τοῦ
« Ἀβραὰμ πατριάρχαις κεκηρυγμένη, καὶ μετὰ τοῦ
« Ἀβραὰμ πεπιστευμένη, καὶ διὰ Μωϋσέως ἀποκαλυ-
« φθεῖσα, καὶ ἐν Ἠσαΐᾳ προφητευομένη, ἐν Χριστῷ δὲ
« ἀναδειχθεῖσα, καὶ σὺν Χριστῷ ὑπάρχουσα, ἐν ὑστέρῳ
« δὲ ὑφ' ἡμῶν ἐγκωμιαζομένη".[29]—Καὶ ταῦτα
μὲν ὁ ἱερὸς Ἐπιφάνιος λέγει ἐν Παναρίῳ. Ἐν δὲ
τῷ ἐπιγραφομένῳ Ἀγκυρωτῷ (§ κστ') τὸν ἐπινίκιον

---

[29] Ἐν ἄλλοις, ὅσα μου κατεφλυάρησαν οἱ ἐν Λονδίνῳ Ἕλληνες θεολόγοι, ὅτε ἀνέγνων τὸ Σύμβολον ἄνευ τελείας στιγμῆς μετὰ τὴν λέξιν "προφητῶν", πολλάκις καὶ τὸ γελοῖον τοῦτο ἰδίᾳ τε καὶ δημοσίᾳ ἐπανέλαβον, ὅτι οἱ προφῆται οὐκ ἠδύναντο λαλῆσαι εἰς τὴν Ἀποστολικὴν Ἐκκλησίαν, ἅτε οὐχ ὑπάρχουσαν ἐν ταῖς ἡμέραις αὐτῶν, ἀλλὰ μετὰ τὴν τοῦ Σωτῆρος

ὕμνον ἑρμηνεύων λέγει· "Σεμνοὶ δὲ ἄγγελοι ἐν οὐ-
« ρανῷ τὸν ἐπινίκιον ὕμνον ᾄδουσι, σὺν Σεραφεὶμ καὶ
« Χερουβεὶμ τὴν Τριάδα ὁμοδόξως καὶ ὁμοστοίχως
« καὶ ὁμοουσίως δοξάζοντες καὶ λέγοντες τό —
« Ἅγιος, Ἅγιος, Ἅγιος, τρεῖς φωνὰς ἀποτε-
« λοῦντες, ἐν ἑνότητι δὲ λέγοντες καὶ οὐ πολυωνύμως.
« Οὐ γὰρ λέγουσιν Ἅγιος τέταρτον, ἵνα μὴ προσ-
« θῶσι τῇ τῆς Τριάδος ὀνομασίᾳ· οὐ λέγουσι δὶς τὸ
« Ἅγιος, ἵνα μὴ ἐλλιπὴς εἴη ἡ δόξα τῆς τελειό-
« τητος· ἀλλὰ τρίς, ἵνα Πατέρα καὶ Υἱὸν καὶ ἅγιον
« Πνεῦμα ἐν τῇ αὐτῇ τιμῇ ἁγιάσωσι... Ταύτην γὰρ
« τὴν οἰκοδομὴν ᾠκοδόμησεν ἡμῖν τὸ ἅγιον Πνεῦμα...
« Χριστοῦ γὰρ ἐσμὲν οἰκοδομή, καὶ Χριστοῦ ἐσμὲν
« γεώργιον, οἰκοδομηθέντες ἐπὶ τὸν θεμέλιον Προφη-
« τῶν τε καὶ Ἀποστόλων". [30] Καὶ ἐν τῷ λόγῳ δὲ

ἔλευσιν συστᾶσαν. Ἐπειδή, ὡς φαίνεται, οὐκ ηὐτύχησαν μέχρι τοῦδε μαθεῖν, τί ἐστιν Ἐκκλησία, καὶ πόθεν αὐτῆς ἡ ἀρχή, μανθανέτωσαν δὴ τοῦτο οἱ σεμνοὶ τῶν ἄλλων διδάσκαλοι ἐκ τῶν λόγων τοῦ ἁγίου Ἐπιφανίου. Ἔξουσι δὲ τοῦτ' αὐτὸ εὐθὺς ἐφεξῆς μαθεῖν καὶ ἐκ τοῦ Χρυσοστόμου καὶ ἐξ ἄλλων τῆς Ἐκκλησίας Πατέρων, ἐὰν μόνον φιλομαθῶσι· "καλὸν γὰρ καὶ γέροντι μανθάνειν σοφά."

[30] *Ἴδε περὶ τούτου καὶ ἀλλαχοῦ τοῦ Ἀγκυρωτοῦ (§ ί. καὶ ριζ'). Ἀπαραλλάκτως δὲ καὶ ὁ μέγας τῶν Μεδιολάνων Ἀρχιεπίσκοπος, ὁ θεῖος Ἀμβρόσιος τὸν ἐπινίκιον ὕμνον ἑρμηνεύει λέγων ἐν τῷ περὶ πίστεως Λόγῳ* (De Fide. L. 11. c. 12). "Seraphim dicunt *Sanctus*, *Sanctus*, *Sanctus*. Quid sibi vult sub uno nomine sanctitatis trina repetitio? Si trina repetitio, cur una laudatio? Si una laudatio, cur una repetitio? Trina repetitio cur, nisi quia Pater et Filio et Spiritus sanctus sanctitate unum sunt (I. Joan. V. 7)? Non dixit

« ἡμῶν, καὶ τὴν ἐκ τῶν οὐρανῶν ἐν τῇ δόξῃ τοῦ Πα-
« τρὸς παρουσίαν αὐτοῦ ἐπὶ τὸ ἀνακεφαλαιώσασθαι τὰ
« πάντα... τοῦτο τὸ κήρυγμα παρειληφυῖα καὶ ταύτην
« τὴν πίστιν, ὡς προέφαμεν, ἡ Ἐκκλησία, καίπερ ἐν
« ὅλῳ τῷ **Κόσμῳ** διεσπαρμένη, ἐπιμελῶς φυλάσσει, ὡς
« ἕνα οἶκον οἰκοῦσα· καὶ ὁμοίως πιστεύει τούτοις, ὡς
« μίαν ψυχὴν καὶ τὴν αὐτὴν ἔχουσα καρδίαν, καὶ συμ-
« φώνως ταῦτα κηρύσσει καὶ διδάσκει καὶ παραδίδωσιν,
« ὡς ἓν στόμα κεκτημένη, κ. τ. λ." Αὕτη λοιπόν ἐστιν
ἡ πίστις, ἣν καὶ ὁ ἱερὸς Ἐπιφάνιος παραδίδωσι, τὴν
εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα· οὐδὲν τούτου
πλέον, οὐδὲν τούτου ἔλαττον. Περὶ δὲ Ἐκκλησίας
λέγει ἐν τέλει τοῦ αὐτοῦ συγγράμματος, ὅτι "ἐστὶ
« σὺν τῷ Ἀδὰμ πεπλασμένη, καὶ ἐν τοῖς πρὸ τοῦ
« Ἀβραὰμ πατριάρχαις κεκηρυγμένη, καὶ μετὰ τοῦ
« Ἀβραὰμ πεπιστευμένη, καὶ διὰ **Μωϋσέως** ἀποκαλυ-
« φθεῖσα, καὶ ἐν Ἠσαΐᾳ προφητευομένη, ἐν Χριστῷ δὲ
« ἀναδειχθεῖσα, καὶ σὺν Χριστῷ ὑπάρχουσα, ἐν ὑστέρῳ
« δὲ ὑφ' ἡμῶν ἐγκωμιαζομένη".[29]—**Καὶ** ταῦτα
μὲν ὁ ἱερὸς Ἐπιφάνιος λέγει ἐν Παναρίῳ. Ἐν δὲ
τῷ ἐπιγραφομένῳ Ἀγκυρωτῷ (§ κστ΄) τὸν ἐπινίκιον

---

[29] Ἐν ἄλλοις, ὅσα μου κατεφλυάρησαν οἱ ἐν Λονδίνῳ Ἕλληνες θεολόγοι, ὅτε ἀνέγνων τὸ Σύμβολον ἄνευ τελείας στιγμῆς μετὰ τὴν λέξιν "προφητῶν", πολλάκις καὶ τὸ γελοῖον τοῦτο ἰδίᾳ τε καὶ δημοσίᾳ ἐπανέλαβον, ὅτι οἱ προφῆται οὐκ ἠδύναντο λαλῆσαι εἰς τὴν Ἀποστολικὴν Ἐκκλησίαν, ἅτε οὐχ ὑπάρχουσαν ἐν ταῖς ἡμέραις αὐτῶν, ἀλλὰ μετὰ τὴν τοῦ Σωτῆρος

« τριακοσίων δέκα τὸν ἀριθμόν."[31] Καὶ τέλος πάντων ἐν τῇ συντόμῳ ἐκθέσει τῆς καθολικῆς πίστεως, ἣν ὁ αὐτὸς Ἐπιφάνιος ἔγραψε, λέγει ἐν ἄλλοις καὶ τάδε ἐν § ΙΔ΄. "Αὕτη δὲ ἡ μία περιστερὰ καὶ ἁγία παρθένος « Θεὸν ὁμολογεῖ, Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, « Πατέρα τέλειον, Υἱὸν τέλειον, Πνεῦμα ἅγιον τέλειον, « ὁμοούσιον τὴν Τριάδα·" ἐν δὲ § ΙΗ΄ λέγει. "Ἡμῖν « δὲ αὕτη ἡ πίστις, καὶ αὕτη ἡ τιμή, καὶ αὕτη ἡ μήτηρ « ἡμῶν ἡ Ἐκκλησία... ὅτι Θεὸς εἷς ἡμῖν ἐν Νόμῳ καὶ

---

[31] Ἐκ τῶν λόγων τούτων τοῦ Ἐπιφανίου δείκνυται, ὅτι τὸ ὑπ' αὐτοῦ παρατιθέμενον Σύμβολόν ἐστι τὸ ἐν Νικαίᾳ συνταχθὲν ὑπὸ τῶν **318** Πατέρων· ἀλλ' ὅμως ἐν ταῖς ἐκδόσεσι τῶν συγγραμμάτων αὐτοῦ εὕρηται παρατεθειμένον αὐτὸ τὸ ἐν Κωνσταντινουπόλει συμπληρωθὲν Σύμβολον, εἰ καὶ ὁ Ἀγκυρωτὸς ἐγράφη ἑπτὰ πρὸ τῆς Συνόδου ἐκείνης ἔτη, τουτέστι τὸ **374**. Ἄξιον δὲ σημειώσεώς ἐστιν ὅτι ἐν μὲν τῇ πρώτῃ τῶν Ἐπιφανίου συγγραμμάτων ἐκδόσει (ἐν Βασιλείᾳ, **1544**) τὸ Σύμβολον γέγραπται μεθ' ὑποστιγμῆς ἐν τῇ λέξει "προφητῶν·" ἐν δὲ τῇ νεωτέρᾳ, τῇ ἐν Παρισίοις, (**1622**) καὶ ἐν τῇ νεωτάτῃ, τῇ ἐν τῇ Πατρολογίᾳ τοῦ Migne, μετὰ τελείας στιγμῆς. Τίς οἶδεν, εἰ καὶ μηδὲν ὑπῆρχεν ἐν τῷ ἀρχικῷ χειρογράφῳ σημεῖον στίξεως; Οὐχ ἧττον παρατηρητέον ὅτι μετὰ τὴν ἔκθεσιν τοῦ Συμβόλου τῆς Κωνσταντινουπόλεως, φέροντος ἐν τέλει καὶ τὸ ἐν τῷ τῆς Νικαίας παρηρτημένον ἀνάθεμα κατὰ τῶν λεγόντων "ἦν ὅτε οὐκ ἦν κ. τ. λ.", ἕπεται ἀνάπτυξίς τις τοῦ Συμβόλου, ἐν ᾗ ὁμοίως διαφέρουσιν οὐσιωδῶς αἱ τρεῖς προειρημέναι ἐκδόσεις· διότι ἐν μὲν ταῖς δυσὶν ἀρχαιοτέραις γράφεται· "Πιστεύομεν εἰς μίαν καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν"· ἐν δὲ τῇ τρίτῃ ἐλλείπει ἡ λέξις "πιστεύομεν". Ἐκ τῆς τοιαύτης συγχύσεως οὐδὲν ἔχει τις εὐλόγως εἰκάσαι, ἢ ὅτι ὁ μὲν Ἐπιφάνιος παρέθετο μόνον τὸ ἐν Νικαίᾳ Σύμβολον, ὃ καὶ ῥητῶς ὀνομάζει, λέγων ὅτι συνετάχθη "ὑπὸ πάντων ὁμοῦ τῶν ἁγίων Ἐπισκόπων ὑπὲρ **310** τὸν ἀριθμόν", ἐν δὲ τοῖς ἀντιγράφοις, ἢ ἐν ταῖς ἐκδόσεσι, προσετέθη ἀντ' ἐκείνου τὸ ἐν Κωνσταντινουπόλει, καὶ ἐπεξηγήθη διὰ προσθήκης ὅλως ἀσυμβιβάστου πρὸς τὴν ἐν τοῖς Λόγοις τοῦ θείου τούτου Πατρὸς διδασκαλίαν.

« ἐν Προφήταις καὶ ἐν Εὐαγγελίοις καὶ ἐν Ἀποστόλοις
« ἐν Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ κεκήρυκται καὶ κατήγ-
« γελται, Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα... Αὕτη
« ἐστὶν ἡ πίστις, ἡ τῆς ἡμετέρας ζωῆς πραγματεία·
« τοῦτο τὸ ἔρεισμα τῆς ἀληθείας· αὕτη ἡ παρθένος
« Χριστοῦ καὶ περιστερὰ ἄκακος· αὕτη ἐστὶν ἡ ζωὴ καὶ
« ἡ ἐλπὶς καὶ ἡ βεβαίωσις τῆς ἀφθαρσίας". Καὶ τὴν
ἔκθεσιν ταύτην τῆς πίστεως ἐπισφραγίζει ὁ θεῖος Πατὴρ
διὰ τῶν ἑξῆς λόγων. "Οὗτός ἐστιν ὁ χαρακτὴρ τῆς
« Ἐκκλησίας, ἀπὸ Νόμου καὶ Προφητῶν καὶ Ἀπο-
« στόλων καὶ Εὐαγγελιστῶν συνηγμένος... Οὗτοι οἱ
« χαρακτῆρες τῆς σεμνῆς ταύτης Νύμφης Χριστοῦ.
« Αὕτη ἡ προὶξ καὶ διαθήκη κληρονομίας, καὶ βούλημα
« τοῦ αὐτῆς Νυμφίου καὶ ἐπουρανίου Ἰησοῦ Χριστοῦ
« τοῦ Κυρίου ἡμῶν κ. τ. λ."

Βασίλειος ὁ μέγας.

Πολλοὺς ἄλλους συντομίας χάριν παραλείποντες, ὅσοι τῷ Ἀθανασίῳ σύγχρονοι γενόμενοι μόνην τὴν ἐν Νικαίᾳ πίστιν ἐδίδαξαν καὶ ἐκράτυναν, οὐδ' ὁπωστιοῦν ἑτέρου Συμβόλου μνημονεύοντες, μεταβῶμεν εὐθὺ πρὸς τοὺς δύο μεγίστους τῆς Ἐκκλησίας φωστῆρας, Βασίλειον τὸν μέγαν καὶ τὸν Θεολόγον Γρηγόριον, ἀμφοτέρους μὲν κατὰ τὸ αὐτὸ ἔτος γεννηθέντας (τὸ 329), οὐ μὴν καὶ συγχρόνως τελευτήσαντας· ὁ μὲν γὰρ ἀπεβίωσε τὸ 379, δύο ἔτη πρὸ τῆς Β' οἰκουμενικῆς Συνόδου, ὁ δὲ Γρηγόριος ἐπέζησε δέκα ἔτη, ἀποθανὼν τὸ 389, ὀκτὼ μετὰ τὴν Σύνοδον ἐκείνην ἔτη, ἐν

ᾗ καὶ αὐτὸς παρῆν, Ἐπίσκοπος ὢν τότε Κωνσταντινουπόλεως.[32]

Τούτων τοίνυν ὁ πρῶτος πολλαχοῦ μὲν τῶν ἑαυτοῦ συγγραμμάτων, μάλιστα δὲ ἐν τῇ ΡΚΕ' ἐπιστολῇ αὐτοῦ, τῇ ἐπιγραφομένῃ «Ἀντίγραφον πίστεως ὑπαγορευθείσης παρὰ τοῦ ἁγιωτάτου Βασιλείου, ᾗ ὑπέγραψεν Εὐστάθιος ὁ Σεβαστείας Ἐπίσκοπος», διαῤῥήδην ἀνακηρύττει, ὅτι πάντες «οἵ τε ἐξ αἱρέσεως εἰς τὴν «τῶν πιστῶν συνάφειαν βουλόμενοι μετατίθεσθαι, καὶ «οἱ ἐπιθυμοῦντες ἐν τῇ κατηχήσει τοῦ λόγου τῆς ἀλη- «θείας γενέσθαι, ὀφείλουσι διδάσκεσθαι τὴν ὑπὸ τῶν «μακαρίων Πατέρων ἐν τῇ κατὰ Νίκαιάν ποτε συγ- «κροτηθείσῃ Συνόδῳ γραφεῖσαν πίστιν.... Δεῖ γὰρ «ἡμᾶς βαπτίζεσθαι μὲν ὡς παρελάβομεν, πιστεύ- «ειν δὲ ὡς βαπτιζόμεθα, δοξάζειν δὲ ὡς πε- «πιστεύκαμεν.» Σαφέστερον δὲ περὶ τούτου ἀποφαίνεται ἐν τῇ ΡΜ' ἐπιστολῇ, ἣν ἔγραψε πρὸς τὴν Ἀντιοχέων Ἐκκλησίαν, καὶ ἐν ᾗ λέγει τάδε. «Πίστιν δὲ «ἡμεῖς οὔτε παρ' ἄλλων γραφομένην ἡμῖν νεωτέραν «παραδεχόμεθα, οὔτε αὐτοὶ τὰ τῆς ἡμετέρας διανοίας «γεννήματα παραδιδόναι τολμῶμεν... ἀλλ' ἅπερ πα- «ρὰ τῶν ἁγίων Πατέρων δεδιδάγμεθα, ταῦτα τοῖς «ἐρωτῶσιν ἡμᾶς διαγγέλλομεν. Ἔστι τοίνυν ἐκ πα-

---

[32] Ἴδε τοὺς βίους ἀμφοτέρων ἐν τῷ Β' τόμῳ τῆς τοῦ Κυρίου Κοντογόνου Πατρολογίας.

« ἐν Προφήταις καὶ ἐν Εὐαγγελίοις καὶ ἐν Ἀποστόλοις
« ἐν Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ κεκήρυκται καὶ κατήγ-
« γελται, Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα... Αὕτη
« ἐστὶν ἡ πίστις, ἡ τῆς ἡμετέρας ζωῆς πραγματεία·
« τοῦτο τὸ ἔρεισμα τῆς ἀληθείας· αὕτη ἡ παρθένος
« Χριστοῦ καὶ περιστερὰ ἄκακος· αὕτη ἐστὶν ἡ ζωὴ καὶ
« ἡ ἐλπὶς καὶ ἡ βεβαίωσις τῆς ἀφθαρσίας". Καὶ τὴν
ἔκθεσιν ταύτην τῆς πίστεως ἐπισφραγίζει ὁ θεῖος Πατὴρ
διὰ τῶν ἑξῆς λόγων. "Οὗτός ἐστιν ὁ χαρακτὴρ τῆς
« Ἐκκλησίας, ἀπὸ Νόμου καὶ Προφητῶν καὶ Ἀπο-
« στόλων καὶ Εὐαγγελιστῶν συνηγμένος... Οὗτοι οἱ
« χαρακτῆρες τῆς σεμνῆς ταύτης Νύμφης Χριστοῦ.
« Αὕτη ἡ προὶξ καὶ διαθήκη κληρονομίας, καὶ βούλημα
« τοῦ αὐτῆς Νυμφίου καὶ ἐπουρανίου Ἰησοῦ Χριστοῦ
« τοῦ Κυρίου ἡμῶν κ. τ. λ."

Βασίλειος ὁ μέγας.

Πολλοὺς ἄλλους συντομίας χάριν παραλείποντες, ὅσοι τῷ Ἀθανασίῳ σύγχρονοι γενόμενοι μόνην τὴν ἐν Νικαίᾳ πίστιν ἐδίδαξαν καὶ ἐκράτυναν, οὐδ' ὁπωστιοῦν ἑτέρου Συμβόλου μνημονεύοντες, μεταβῶμεν εὐθὺ πρὸς τοὺς δύο μεγίστους τῆς Ἐκκλησίας φωστῆρας, Βασίλειον τὸν μέγαν καὶ τὸν Θεολόγον Γρηγόριον, ἀμφοτέρους μὲν κατὰ τὸ αὐτὸ ἔτος γεννηθέντας (τὸ 329), οὐ μὴν καὶ συγχρόνως τελευτήσαντας· ὁ μὲν γὰρ ἀπεβίωσε τὸ 379, δύο ἔτη πρὸ τῆς Β' οἰκουμενικῆς Συνόδου, ὁ δὲ Γρηγόριος ἐπέζησε δέκα ἔτη, ἀποθανὼν τὸ 389, ὀκτὼ μετὰ τὴν Σύνοδον ἐκείνην ἔτη, ἐν

« ρος εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύμα-
« τος, ἀκόλουθον τῷ βαπτίσματι τὴν ὁμολογίαν τῆς
« πίστεως παρεχόμεθα, ἀκόλουθον δὲ καὶ τὴν δοξολο-
« γίαν τῇ πίστει.” Πρὸς δὲ τὸν Ἐπίσκοπον Ἐπιφάνιον
(Ἐπιστ. ΣΝΗ′) γράφει· “Οὐδὲν δυνάμεθα τῇ κατὰ Νί-
« καιαν πίστει προστιθέναι ἡμεῖς, οὐδὲ τὸ βραχύτατον,
« πλὴν τῆς εἰς τὸ Πνεῦμα τὸ ἅγιον δοξολογίας, διὰ τὸ
« ἐν παραδρομῇ τοὺς Πατέρας ἡμῶν τούτου τοῦ μέρους
« ἐπιμνησθῆναι, οὔπω τοῦ κατ’ αὐτὸ ζητήματος τότε
« κεκινημένου.” Σαφέστατα δὲ καὶ τὰ ὑπὸ τοῦ αὐτοῦ
θείου Πατρὸς εἰρημένα ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύμα-
τος Λόγῳ αὐτοῦ, ὃν ἔγραψε πρὸς Ἀμφιλόχιον τὸν
Ἰκονίου Ἐπίσκοπον· λέγει γὰρ ἐν § κή τάδε. “Πίστις
« δὲ καὶ βάπτισμα δύο τρόποι τῆς σωτηρίας, συμφυεῖς
« ἀλλήλοις καὶ ἀδιαίρετοι· πίστις μὲν γὰρ τελειοῦται
« διὰ βαπτίσματος, βάπτισμα δὲ θεμελιοῦται διὰ τῆς
« πίστεως, καὶ διὰ τῶν αὐτῶν ὀνομάτων ἑκάτερα πλη-
« ροῦται. Ὡς γὰρ πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν
« καὶ ἅγιον Πνεῦμα, οὕτω καὶ βαπτιζόμεθα εἰς τὸ ὄνο-
« μα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύμα-
« τος· καὶ προάγει μὲν ἡ ὁμολογία πρὸς τὴν σωτηρίαν
« εἰσάγουσα, ἐπακολουθεῖ δὲ τὸ βάπτισμα ἐπισφραγί-
« ζον ἡμῶν τὴν συγκατάθεσιν”.[33] Καὶ αὖθις ἐν § ξζ′.

---

[33] Τί ἂν εἶπεν ὁ ταῦτα διδάξας φωστὴρ τῆς Ἐκκλησίας, εἴπερ ἤκουε λεγόμενον, ὅτι ἡμεῖς παρ’ ὃ ἐβαπτίσθημεν, ἄλλο τι πιστεύομεν, τουτέστιν εἰς τὴν Ἐκκλησίαν· καὶ οὐ μόνον ὅτι πιστεύομεν εἰς τὴν Ἐκκλησίαν, ἀλλὰ

" Αὐτὴν δὲ τὴν ὁμολογίαν τῆς πίστεως εἰς Πατέρα καὶ « Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐκ ποίων γραμμάτων ἔχο- « μεν; Εἰ μὲν γὰρ ἐκ τῆς τοῦ βαπτίσματος παραδό- « σεως, κατὰ τὸ τῆς εὐσεβείας ἀκόλουθον, ὡς βα- « πτιζόμεθα οὕτω καὶ πιστεύειν ὀφεί- « λοντες, ὁμοίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν κα- « τατιθέμεθα, συγχωρησάτωσαν καὶ ἡμῖν ἐκ τῆς αὐτῆς « ἀκολουθίας ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι· « εἰ δὲ τὸν τρόπον τῆς δοξολογίας ὡς ἄγραφον παραι-

---

καὶ ὅτι βαπτιζόμεθα εἰς τὴν Ἐκκλησίαν! Καὶ γινώσκω μέν, ὅτι ταῦτα ἀκούοντες οἱ τῆς εἰς τὴν Ἐκκλησίαν πίστεως ὑπέρμαχοι, μετὰ σοβαροῦ καὶ οἷον Διδακτορικοῦ μειδιάματος λέγουσι· " Βαβαὶ τῆς ματαιολογίας! καὶ τίς ποτε εἶπεν, ἢ λέγει, ὅτι πιστεύει εἰς τὴν Ἐκκλησίαν, ὃν τρόπον πιστεύει εἰς τὴν ἁγίαν Τριάδα; Ἄλλη ἡ εἰς τὴν θεότητα πίστις, καὶ ἄλλη ἡ εἰς τὴν Ἐκκλησίαν· ἡ πρώτη ἐκδηλοῖ λατρείαν καὶ προσκύνησιν, ἡ δευτέρα σέβας, τιμήν, ἀποδοχήν, ὡς διὰ μακρῶν γρίφων ἑρμηνεύεται ἐν τῇ ὑπὸ τοῦ μακαρίτου Στούρτζα μεταφρασθείσῃ Ῥωσσικῇ Κατηχήσει." Διδάσκουσι λοιπὸν οἱ ἄνδρες ἡμᾶς δύο πίστεις, τὴν μὲν πρώτης τάξεως, τὴν δὲ δευτέρας, ἢ (γραμματικῶς εἰπεῖν) τὴν μὲν κυρίαν, τὴν δὲ τροπικὴν ἢ μεταφορικήν. Ταῦτα τῶν διπίστων τὰ διδάγματα ἀποδεξάσθω ὅστις ἂν βούληται· ἐγὼ δὲ τοιαύτην ἔχων διδασκαλίαν παρὰ τηλικούτου τῆς Ἐκκλησίας Πατρὸς καὶ Διδασκάλου, καὶ πάντων τῶν ὁμοίων αὐτῷ, οἷοι ὁ Θεολόγος Γρηγόριος, ὁ Χρυσόστομος, Κύριλλος ὁ Ἀλεξανδρείας, Φώτιος, καὶ ἄλλοι, ὧν ἐφεξῆς ἀκούσομεν τῆς διδασκαλίας, οὐδέποτε ἄλλην ἢ τὴν παρ' αὐτῶν διδασκομένην πίστιν ἀποδέξομαι, ἀλλὰ διατελέσω πιστεύων ὡς ἐβαπτίσθην. Λέγω δὲ καὶ τοῦτο πρὸς τοὺς αὐτοὺς τούτους· ὅτι πρώτης καὶ δευτέρας τάξεως θέσεις γινώσκω ἐν ταῖς ἁμάξαις τῶν σιδηροδρόμων καὶ ἐν τοῖς ἀτμοκινήτοις· πρώτης δὲ καὶ δευτέρας τάξεως πίστιν ἐν τῇ Ἐκκλησίᾳ οὐδέποτε ἀποδέξομαι, ἀλλὰ μίαν καὶ μόνην, εἰς ἣν ἐβαπτίσθην, καὶ ἥτις ἐστὶν ἡ εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

« τοῦνται, δότωσαν ἡμῖν τῆς τε κατὰ τὴν πίστιν
« ὁμολογίας, καὶ τῶν λοιπῶν, ὧν ἀπηριθμησάμεθα,
« ἐγγράφους τὰς ἀποδείξεις". Ἐν δὲ τῇ
ἀμέσως ἑπομένῃ παραγράφῳ ἐπιλέγει. "Ἀλλὰ τί
« χρὴ ποιεῖν; νῦν γὰρ ἡμᾶς διδασκέτωσαν μὴ βαπτί-
« ζειν ὡς παρελάβομεν, ἢ μὴ πιστεύειν ὡς ἐβαπτίσθη-
« μεν, ἢ μὴ δοξάζειν ὡς πεπιστεύκαμεν· δεικνύτω γάρ
« τις ἢ ὡς οὐκ ἀναγκαία καὶ ἄῤῥηκτος ἡ πρὸς ἄλληλα
« τούτων ἀκολουθία, ἢ ὡς οὐχὶ ἡ ἐν τούτοις και-
« νοτομία τοῦ παντός ἐστι κατάλυσις".
Καὶ τέλος πάντων ἐν τῷ περὶ πίστεως Λόγῳ (§ 4) τὴν
τῆς ἑαυτοῦ πίστεως Ὁμολογίαν ἐκτιθεὶς διαῤῥήδην
ἀνακηρύττει. "Πιστεύομεν τοίνυν καὶ ὁμολογοῦμεν
« ἕνα μόνον ἀληθινὸν καὶ ἀγαθὸν Θεόν, καὶ Πατέρα
« παντοκράτορα, ἐξ οὗ τὰ πάντα... Καὶ ἕνα τὸν μονο-
« γενῆ αὐτοῦ Υἱὸν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν
« Χριστόν... Καὶ ἓν μόνον Πνεῦμα ἅγιον, τὸ παρά-
« κλητον, ἐν ᾧ ἐσφραγίσθημεν εἰς ἡμέραν ἀπολυτρώ-
« σεως.[34] ... Οὕτω φρονοῦμεν καὶ οὕτω βαπτίζομεν
« εἰς Τριάδα ὁμοούσιον κατὰ τὴν ἐντολὴν αὐτοῦ τοῦ

---

[34] Ἐκ τῆς ῥήσεως ταύτης τοῦ μεγάλου Βασιλείου παρέλαβεν, ὡς φαίνεται, καὶ ὁ Ἀββᾶ Fleury τὴν λέξιν μόνην, ἣν προσέθηκεν αὐθαδέστατα ἐν τῇ μεταφράσει τοῦ Συμβόλου, οὗ τὸ ἔννατον ἄρθρον μεταφράζει οὑτωσὶ ἐν τῇ Ἐκκλησ. αὐτοῦ Ἱστορίᾳ.—Nous croyons en une SEULE Eglise sainte, catholique et Apostolique." Τίνα δὲ ἐννοεῖ ὁ ἄνθρωπος μόνην καθολικὴν Ἐκκλησίαν, εἰς ἣν πιστεύομεν, ἐν τῷ Β΄ μέρει τῆς ἡμετέρας ἐκθέσεως ἀποδειχθήσεται πληρέστατα, ὅταν ἀναζητήσωμεν, πότε καὶ πόθεν

"Αὐτὴν δὲ τὴν ὁμολογίαν τῆς πίστεως εἰς Πατέρα καὶ
« Υἱὸν καὶ ἅγιον Πνεῦμα ἐκ ποίων γραμμάτων ἔχο-
« μεν; Εἰ μὲν γὰρ ἐκ τῆς τοῦ βαπτίσματος παραδό-
« σεως, κατὰ τὸ τῆς εὐσεβείας ἀκόλουθον, ὡς βα-
« πτιζόμεθα οὕτω καὶ πιστεύειν ὀφεί-
« λοντες, ὁμοίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν κα-
« τατιθέμεθα, συγχωρησάτωσαν καὶ ἡμῖν ἐκ τῆς αὐτῆς
« ἀκολουθίας ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι·
« εἰ δὲ τὸν τρόπον τῆς δοξολογίας ὡς ἄγραφον παραι-

καὶ ὅτι βαπτιζόμεθα εἰς τὴν Ἐκκλησίαν! Καὶ γινώσκω μέν, ὅτι ταῦτα ἀκούοντες οἱ τῆς εἰς τὴν Ἐκκλησίαν πίστεως ὑπέρμαχοι, μετὰ σοβαροῦ καὶ οἷον Διδακτορικοῦ μειδιάματος λέγουσι· "Βαβαὶ τῆς ματαιολογίας! καὶ τίς ποτε εἶπεν, ἢ λέγει, ὅτι πιστεύει εἰς τὴν Ἐκκλησίαν, ὃν τρόπον πιστεύει εἰς τὴν ἁγίαν Τριάδα; Ἄλλη ἡ εἰς τὴν θεότητα πίστις, καὶ ἄλλη ἡ εἰς τὴν Ἐκκλησίαν· ἡ πρώτη ἐκδηλοῖ λατρείαν καὶ προσκύνησιν, ἡ δευτέρα σέβας, τιμήν, ἀποδοχήν, ὡς διὰ μακρῶν γρίφων ἑρμηνεύεται ἐν τῇ ὑπὸ τοῦ μακαρίτου Στούρτζα μεταφρασθείσῃ Ῥωσσικῇ Κατηχήσει." Διδάσκουσι λοιπὸν οἱ ἄνδρες ἡμᾶς δύο πίστεις, τὴν μὲν πρώτης τάξεως, τὴν δὲ δευτέρας, ἢ (γραμματικῶς εἰπεῖν) τὴν μὲν κυρίαν, τὴν δὲ τροπικὴν ἢ μεταφορικήν. Ταῦτα τῶν διπίστων τὰ διδάγματα ἀποδεξάσθω ὅστις ἂν βούληται· ἐγὼ δὲ τοιαύτην ἔχων διδασκαλίαν παρὰ τηλικούτου τῆς Ἐκκλησίας Πατρὸς καὶ Διδασκάλου, καὶ πάντων τῶν ὁμοίων αὐτῷ, οἷοι ὁ Θεολόγος Γρηγόριος, ὁ Χρυσόστομος, Κύριλλος ὁ Ἀλεξανδρείας, Φώτιος, καὶ ἄλλοι, ὧν ἐφεξῆς ἀκούσομεν τῆς διδασκαλίας, οὐδέποτε ἄλλην ἢ τὴν παρ' αὐτῶν διδασκομένην πίστιν ἀποδέξομαι, ἀλλὰ διατελέσω πιστεύων ὡς ἐβαπτίσθην. Λέγω δὲ καὶ τοῦτο πρὸς τοὺς αὐτοὺς τούτους· ὅτι πρώτης καὶ δευτέρας τάξεως θέσεις γινώσκω ἐν ταῖς ἁμάξαις τῶν σιδηροδρόμων καὶ ἐν τοῖς ἀτμοκινήτοις· πρώτης δὲ καὶ δευτέρας τάξεως πίστιν ἐν τῇ Ἐκκλησίᾳ οὐδέποτε ἀποδέξομαι, ἀλλὰ μίαν καὶ μόνην, εἰς ἣν ἐβαπτίσθην, καὶ ἥτις ἐστὶν ἡ εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ"— τοιάνδε ποιεῖται τὴν ἑρμηνείαν, ἣν ἄκουσον μετὰ προσοχῆς. "Τὸ ἀναγκαῖον τῆς ὑποταγῆς παραδηλοῖ διὰ « τοῦ αὐτός ἐστιν ὁ Κύριός σου. Προσκυνή- « σουσι δὲ αὐτῷ πᾶσα ἡ κτίσις... Προτρεπόμενος οὖν « εἰς ὑπακοὴν τὴν Ἐκκλησίαν ὁ λόγος, καὶ θυγάτηρ, « φησί, Τύρου ἥξει ποτὲ μετὰ δώρων· καὶ τὸ σὸν δὲ « πρόσωπον οἱ πλούσιοι τοῦ λαοῦ προσκυνήσουσιν ἐν « δώροις. Οὐχ εἶπε, Σὲ προσκυνήσουσιν ἐν δώροις, « ἀλλὰ τὸ πρόσωπον τὸ σόν· ΟΥ ΓΑΡ ΕΚΚΛΗΣΙΑ « ΠΡΟΣΚΥΝΕΙΤΑΙ, ΑΛΛΑ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ Η « ΚΕΦΑΛΗ, Ο ΧΡΙΣΤΟΣ, ὃν πρόσωπον ὠνόμασεν ἡ « Γραφή". Ἀκούεις, τίς ὁ προσκυνούμενος, καὶ τί ἐστιν Ἐκκλησία; Καὶ ὅμως οἱ τοῦ Ἀββᾶ Fleury μαθηταὶ καὶ τῶν ἄλλων ὁμοίων διδασκάλων, οὓς ἐν τῷ Β′ μέρει ὀνομάσομεν, ἐπιμόνως λέγουσιν ἡμῖν· "ὁμολόγει ἐν τῷ Συμβόλῳ τῆς πίστεως, ὅτι πιστεύεις καὶ εἰς τὴν Ἐκκλησίαν". Δεύτερον δέ, καὶ ἐν τῷ ἑρμηνεύειν ὁ θεῖος Πατὴρ τὸ ἐν τῷ ΚΗ′ Ψαλμῷ—"προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ"—τὴν αὐτὴν ἀποφαίνεται γνώμην. Ἀλλὰ τρίτον καὶ τελευταῖον, ἐν § 5 τοῦ Γ′ κατὰ Εὐνομίου Λόγου (ἔγραψε δὲ πέντε Λόγους κατὰ τοῦ δυσσεβοῦς τούτου) διαῤῥήδην λέγει, ὅτι πάντα τὰ ἔξω τῆς ἁγίας Τριάδος ὄντα (ἐν οἷς ἀναντιῤῥήτως καὶ ἡ Ἐκκλησία) κτίσματά εἰσι καὶ δοῦλα. Ἄκουσον αὐτοῦ τὴν θαυμαστὴν καὶ σαφεστά-

« Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος—Πορευθέντες « μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς « τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου « Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα « ἐνετειλάμην ὑμῖν ».

Περὶ δὲ Ἐκκλησίας (ἐρωτήσεις ἴσως, φίλτατε,) οὐδὲν λέγει ὁ μέγας Βασίλειος; Πολλὰ μὲν πολλαχοῦ τῶν Λόγων αὐτοῦ τὰ τῆς Ἐκκλησίας ἐγκώμια· περὶ δὲ τῆς εἰς αὐτὴν πίστεως, ἣν ἡμᾶς διδάσκουσιν οἱ πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω" ἐννοοῦντες, ἄκουσον ὅ,τι ὁ θεῖος Πατὴρ εὐσεβῶς πάνυ καὶ θεαρέστως διδάσκει· μᾶλλον δ' εἰπεῖν, ἀκουσάτωσαν μετὰ προσοχῆς οἱ τὴν πίστιν εἰς πρώτην καὶ δευτέραν τάξιν διαιροῦντες, καὶ τὴν τοῦ Ἀββᾶ Fleury ἑρμηνείαν τοῦ Συμβόλου περὶ πολλοῦ ποιούμενοι. Καὶ πρῶτον· ἐν τῇ εἰς τὸν ΜΔ' Ψαλμὸν Ὁμιλίᾳ αὐτοῦ ἑρμηνεύων τὸ—"Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· ὅτι αὐτός ἐστιν ὁ Κύριός σου· καὶ προσκυνήσουσιν αὐτῷ καὶ θυγατέρες Τύρου ἐν δώροις· τὸ

καὶ πῶς ἡ Ἀρειανὴ αὕτη τοῦ Συμβόλου ἑρμηνεία μετεβιβάσθη εἰς τὴν ἡμετέραν ὀρθόδοξον Ἐκκλησίαν. Νῦν δὲ μόνον σημειωτέον, ὅτι αἴσχιστόν ἐστιν ἡμῖν τὸ καταφρονεῖν τῆς ὀρθοδόξου διδασκαλίας, ἣν παρά τε τῶν ἁγίων Συνόδων καὶ τηλικούτων τῆς Ἐκκλησίας Πατέρων παρελάβομεν, καὶ τυφλοῖς ὄμμασιν ἀσπάζεσθαι καὶ τιμᾷν τὴν τοῦ Ἀββᾶ Fleury διδασκαλίαν.

καθολικῆς Ἐκκλησίας". Καὶ πολλὰ μὲν ἔχει τις, ὡς εἰκός, ἀρύσασθαι καὶ ἐκ τῆς πολυχεύμονος ταύτης πηγῆς εἰς ἀπόδειξιν τοῦ προκειμένου· ἀρκέσουσι δ' ὅμως ἐκ τῶν πολλῶν ὀλίγα, ὅσα γράφει ἐν τῇ πρὸς Κληδόνιον δευτέρᾳ αὐτοῦ ἐπιστολῇ, οὕτως ὄντα σαφῆ, ὥστε περιττὴν εἶναι πᾶσαν ἄλλην περὶ τούτου μαρτυρίαν ἐξ ἄλλων τοῦ θείου Πατρὸς συγγραμμάτων. Γράφει τοίνυν τῷ Κληδονίῳ τάδε. "Ἐπειδὴ πολλοὶ « προσελθόντες τῇ σῇ εὐλαβείᾳ πληροφορίαν ζητοῦσι « περὶ πίστεως, καὶ διὰ τοῦτο ἀπήτησας ἡμᾶς ἀγαπη- « τικῶς σύντομον ὅρον τινὰ καὶ κανόνα τοῦ ἡμετέρου « φρονήματος, διὰ τοῦτο ἐγράψαμεν τῇ σῇ εὐλαβείᾳ (ὃ « καὶ πρὸ τῶν γραμμάτων ἐγνώριζες), ὅτι ἡμεῖς τῆς « κατὰ Νίκαιαν πίστεως, τῆς τῶν ἁγίων Πατέρων τῶν « ἐκεῖ συνελθόντων ἐπὶ καθαιρέσει τῆς Ἀρειανῆς αἱρέ- « σεως οὐδὲν οὔτε προετιμήσαμεν, οὔτε προ- « τιμᾷν δυνάμεθα, ἀλλ' ἐκείνης ἐσμὲν τῆς πίστεως « σὺν Θεῷ καὶ ἐσόμεθα, προσδιαρθροῦντες τὸ ἐλλιπῶς « εἰρημένον ἐκείνοις περὶ τοῦ ἁγίου Πνεύματος (διὰ τὸ « μηδὲ κεκινῆσθαι τηνικαῦτα τοῦτο τὸ ζήτημα), ὅτι « μιᾶς θεότητος εἰδέναι χρὴ τὸν Πατέρα, καὶ τὸν Υἱόν, « καὶ τὸ ἅγιον Πνεῦμα, Θεὸν καὶ τὸ Πνεῦμα γινώσκον- « τας. Τοὺς οὖν οὕτω φρονοῦντας καὶ διδάσκοντας ἔχε « κοινωνικούς, ἐπεὶ καὶ ἡμεῖς· τοὺς δ' ἑτέρως ἔχοντας « ἀποστρέφου, καὶ ἀλλοτρίους ἡγοῦ καὶ τοῦ Θεοῦ καὶ « τῆς καθολικῆς Ἐκκλησίας". Τί τούτων σαφέστερον

καὶ ἅμα διδακτικώτερον; Ταῦτα πανταχοῦ τῶν Λόγων αὐτοῦ διδάσκει ὁ τῆς θεολογίας ἐπώνυμος· ἐν δὲ τῷ περὶ βαπτίσματος Λόγῳ (§ μέ) ῥητῶς λέγει πρὸς τὸν βαπτιζόμενον πιστεύειν μὲν εἰς Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα, δέχεσθαι δὲ πρὸς τούτοις ἀνάστασιν, κρίσιν, ἀνταπόδοσιν. "Βαπτίσω σε μαθητεύων
« εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος·
« ὄνομα δὲ κοινὸν τῶν τριῶν ἕν, ἡ Θεότης... Πί-
« στευε τὸν σύμπαντα Κόσμον, ὅσος τε ὁρατὸς καὶ
« ὅσος ἀόρατος, ἐξ οὐκ ὄντων παρὰ Θεοῦ γενόμενον
« καὶ προνοίᾳ τοῦ ποιήσαντος διοικούμενον, κ. τ. λ....
« Δέχου πρὸς τούτοις ἀνάστασιν, κρίσιν, ἀνταπόδο-
« σιν τοῖς δικαίοις τοῦ Θεοῦ σταθμοῖς κ. τ. λ."[36] Περὶ δὲ Ἐκκλησίας οὐδὲν λέγει καὶ ὁ Θεολόγος διάφορον

---

[36] Ἐνταῦθα πάλιν εὔκαιρόν ἐστιν ἀναμνῆσαι τοὺς ἐπιμένοντας εἰς τὸ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω" ὅ,τι καὶ ἐν τοῖς ἔμπροσθεν (σημ. 4) ἔλεγον πρὸς αὐτούς· ὅτι δηλαδή, εἴ τινος ἀπῃτεῖτο ῥήματος προσθήκη πρὸ τοῦ Θ' ἄρθρου, καλῶς ἐγίνωσκον οἱ Πατέρες προσθεῖναι τὸ δέχομαι, ὁμολογῶ, ἢ ἄλλο τι τοιοῦτον, ὡς ἑρμηνεύουσι νῦν τὸ ῥῆμα "πιστεύω" οἱ παραλόγως αὐτὸ ἐπαναλαμβάνοντες. Μαρτύριον δὲ τούτου σαφέστατον τὸ ὑπὸ Γρηγορίου τοῦ Θεολόγου λεγόμενον. "Πίστευε (λέγει) εἰς τὴν ἁγίαν Τριάδα. Δέχου δὲ ἀνάστασιν νεκρῶν κ.τ.λ." Τεθέντος δέ, ὅτι αὐτὸς ὁ Θεολόγος ἦν ὁ τὸ Σύμβολον συμπληρώσας, ὡς τινες νομίζουσι, προφανῶς ἐλέγχονται ὑπ' αὐτοῦ ὡς παραλογιζόμενοι οἱ πρὸ τοῦ Θ' ἄρθρου τὸ ῥῆμα "πιστεύω" ἐννοοῦντες. Ἀλλὰ κἂν ἀποδέχωνται ὡς τῆς συμπληρώσεως συντάκτην τὸν Νύσσης Γρηγόριον, ὡς ἄλλοι λέγουσιν, οὐχ ἧττον τοῦ Θεολόγου φημιζόμενον ἐπὶ παιδείᾳ καὶ εὐσεβείᾳ, εἰς τὴν αὐτὴν ἐμπίπτουσι κατάκρισιν, ὡς καὶ ὑπ' ἐκείνου ἐξελεγχόμενοι· καὶ τοῦτο εὐθὺς ἐφεξῆς ὀψόμεθα.

τοῦ Βασιλείου καὶ Ἐπιφανίου· καὶ ἔστω σοι ἐκ τῶν πολλῶν σαφέστατον μαρτύριον ὅ,τι λέγει ἐν τῷ Α′ κατὰ Ἰουλιανοῦ Λόγῳ (§ ξζ′), ἔνθα πρὸς τὸν ἐξωμότην αὐτοκράτορα στρέφων τὸν λόγον ἐπιφωνεῖ ῥητορικώτατα· "Σὺ κατὰ τῆς μεγάλης τοῦ Χριστοῦ κλη-« ρονομίας (ὁ τίς, καὶ πόσος, καὶ πόθεν;), τῆς μεγάλης « καὶ οὐ παυσομένης,...ἣν ὡς Θεὸς ἐποίησε, καὶ « ὡς ἄνθρωπος ἐκληρονόμησεν· ἣν Νόμος ἐτύπωσε, « καὶ χάρις ἐπλήρωσε, καὶ Χριστὸς ἐνεκαίνισεν· ἣν « Προφῆται συνέπηξαν, καὶ Απόστολοι συνέδησαν, καὶ « Εὐαγγελισταὶ κατηρτίσαντο;" Ἐν δὲ τῷ περιφήμῳ Λόγῳ αὐτοῦ εἰς τὸν μέγαν Ἀθανάσιον λέγει περὶ τούτου. "Τῷ ὄντι γὰρ ποιμένες ἠφρονεύσαντο, « κατὰ τὸ γεγραμμένον, καί, ποιμένες πολλοὶ « διέφθειραν τὸν ἀμπελῶνά μου, ᾔσχυναν « μερίδα ἐπιθυμητήν, τὴν Ἐκκλησίαν τοῦ Θεοῦ « λέγω, πολλοῖς ἱδρῶσι καὶ σφαγίοις συνειλεγμένην, « τοῖς πρὸ Χριστοῦ τε καὶ μετὰ Χριστόν, καὶ αὐτοῖς « τοῖς μεγάλοις τοῦ Θεοῦ περὶ ἡμῶν πάθεσι."

Συμπέρασμα ἐκ τῆς διδασκαλίας τῆς τε ἐν Νικαίᾳ Συνόδου καὶ τῶν μετ' ἐκείνην μέχρι τῆς Β′ ἀκμασάντων Πατέρων.

Μετὰ τοὺς δύο τούτους μεγάλους τῆς Ἐκκλησίας φωστῆρας, ὧν οἱ λόγοι καὶ ἡ διδασκαλία παγκόσμιον ἔχουσι κῦρος, ἕπονται δύο ἄλλοι, οὐχ ἧττον δυνάμενοι χρησιμεῦσαι ἡμῖν εἰς ἀπόδειξιν τοῦ προκειμένου ζητήματος, Γρηγόριος ὁ Νύσσης, ἀδελφὸς τοῦ μεγάλου Βασιλείου νεώτερος (ἐγεν. τὸ 331, δύο μετὰ τὸν Βασίλειον ἔτη), καὶ Ἀμφιλόχιος ὁ Ἰκονίου Ἀρχιεπίσκοπος,

καὶ ἅμα διδακτικώτερον; Ταῦτα πανταχοῦ τῶν Λόγων αὐτοῦ διδάσκει ὁ τῆς θεολογίας ἐπώνυμος· ἐν δὲ τῷ περὶ βαπτίσματος Λόγῳ (§ μέ) ῥητῶς λέγει πρὸς τὸν βαπτιζόμενον πιστεύειν μὲν εἰς Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα, δέχεσθαι δὲ πρὸς τούτοις ἀνάστασιν, κρίσιν, ἀνταπόδοσιν. "Βαπτίσω σε μαθητεύων « εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος· « ὄνομα δὲ κοινὸν τῶν τριῶν ἕν, ἡ Θεότης... Πίστευε τὸν σύμπαντα Κόσμον, ὅσος τε ὁρατὸς καὶ « ὅσος ἀόρατος, ἐξ οὐκ ὄντων παρὰ Θεοῦ γενόμενον « καὶ προνοίᾳ τοῦ ποιήσαντος διοικούμενον, κ. τ. λ.... « Δέχου πρὸς τούτοις ἀνάστασιν, κρίσιν, ἀνταπόδο-« σιν τοῖς δικαίοις τοῦ Θεοῦ σταθμοῖς κ. τ. λ."[36] Περὶ δὲ Ἐκκλησίας οὐδὲν λέγει καὶ ὁ Θεολόγος διάφορον

---

[36] Ἐνταῦθα πάλιν εὔκαιρόν ἐστιν ἀναμνῆσαι τοὺς ἐπιμένοντας εἰς τὸ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω" ὅ,τι καὶ ἐν τοῖς ἔμπροσθεν (σημ. 4) ἔλεγον πρὸς αὐτούς· ὅτι δηλαδή, εἴ τινος ἀπῃτεῖτο ῥήματος προσθήκη πρὸ τοῦ Θ' ἄρθρου, καλῶς ἐγίνωσκον οἱ Πατέρες προσθεῖναι τὸ δέχομαι, ὁμολογῶ, ἢ ἄλλο τι τοιοῦτον, ὡς ἑρμηνεύουσι νῦν τὸ ῥῆμα "πιστεύω" οἱ παραλόγως αὐτὸ ἐπαναλαμβάνοντες. Μαρτύριον δὲ τούτου σαφέστατον τὸ ὑπὸ Γρηγορίου τοῦ Θεολόγου λεγόμενον. "Πίστευε (λέγει) εἰς τὴν ἁγίαν Τριάδα. Δέχου δὲ ἀνάστασιν νεκρῶν κ.τ.λ." Τεθέντος δέ, ὅτι αὐτὸς ὁ Θεολόγος ἦν ὁ τὸ Σύμβολον συμπληρώσας, ὥς τινες νομίζουσι, προφανῶς ἐλέγχονται ὑπ' αὐτοῦ ὡς παραλογιζόμενοι οἱ πρὸ τοῦ Θ' ἄρθρου τὸ ῥῆμα "πιστεύω" ἐννοοῦντες. Ἀλλὰ κἂν ἀποδέχωνται ὡς τῆς συμπληρώσεως συντάκτην τὸν Νύσσης Γρηγόριον, ὡς ἄλλοι λέγουσιν, οὐχ ἧττον τοῦ Θεολόγου φημιζόμενον ἐπὶ παιδείᾳ καὶ εὐσεβείᾳ, εἰς τὴν αὐτὴν ἐμπίπτουσι κατάκρισιν, ὡς καὶ ὑπ' ἐκείνου ἐξελεγχόμενοι· καὶ τοῦτο εὐθὺς ἐφεξῆς ὀψόμεθα.

τοῦ Ἀρείου καὶ ἐν τῷ λεγομένῳ τῶν Ἱεροσολύμων, ὃ ἑρμηνεύεται ἐν ταῖς Κατηχήσεσι τοῦ Κυρίλλου, καὶ ὅπερ οὐδὲν διαφέρει τοῦ Ἀρειανοῦ, ὡς ἐξαρκούντως ἀπέδειξα, καὶ ἑπομένως οὐδὲν ἔχει, οὐδὲ δύναται ἔχειν, κοινὸν πρὸς τὴν ἐν Νικαίᾳ δεδομένην πίστιν, τὴν μόνην ἔκτοτε ἐπικρατήσασαν, καὶ μέχρι νῦν ἐν τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ ἀπαρατρέπτως ἐπικρατοῦσαν. Ἀλλ' ἄγε δὴ καὶ εἰς τὸ Γ' μέρος τῶν ἡμετέρων ἀποδείξεων μεταβῶμεν, τήν τε διδασκαλίαν τῆς Β' οἰκουμεν. Συνόδου καὶ τὴν τῶν μετ' ἐκείνην γενομένων, ὡς καὶ τὴν τῶν Πατέρων τῆς Ἐκκλησίας τῶν ἔκτοτε μέχρις ἁλώσεως τῆς Κωνσταντινουπόλεως ἀκμασάντων καὶ διδαξάντων, ἐξετάζοντες, ἵνα μᾶλλον δῆλον γένηται, ὅτι οὐδεὶς οὐδέποτ' ἐδίδαξε τὸ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω".

Β' οἰκουμεν. Σύνοδος ἐν Κωνσταντινουπόλει, τὸ 381 συνελθοῦσα ἐπὶ Θεοδοσίου τοῦ μεγάλου.

ΤΡΙΤΟΝ. Μεταβαίνοντες ἤδη εἰς τὴν ἐξέτασιν τῶν ἐν τῇ Β' οἰκουμεν. Συνόδῳ γενομένων ἐν τῷ Συμβόλῳ προσθηκῶν, καὶ τῆς διδασκαλίας τῶν μετὰ τὴν Σύνοδον ἐκείνην ἀκμασάντων Πατέρων, ὅπως ἴδωμεν, εἰ ἐξ ἐκείνων παρελάβομεν τὸ πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν, ἀρχόμεθα προσηκόντως ἀπὸ τῆς ἐξετάσεως τῶν πρακτικῶν αὐτῆς τῆς Συνόδου, ἐν οἷς ἐκτίθενται καὶ τῆς συγκαλέσεως αὐτῆς αἱ αἰτίαι καὶ πάντα τὰ δεδογμένα αὐτῇ. Γνωστότατόν ἐστιν ὅτι, ὡς αἰτία τῆς συγκαλέσεως τῆς Α' οἰκουμεν. Συνόδου ἐγένετο ἡ κατὰ τοῦ Υἱοῦ βλάσφημος αἵρεσις τοῦ Ἀρείου, ἥτις

ἐξεκόπη τέλεον διὰ τῶν ἐν τῷ Συμβόλῳ ἐκτεθεισῶν ἰδιοτήτων τοῦ Υἱοῦ, οὕτω καὶ τῆς Β' πρωτίστη ἐγένετο αἰτία ἡ κατὰ τοῦ ἁγίου Πνεύματος βλάσφημος αἵρεσις τοῦ Μακεδονίου. Συνελθοῦσα λοιπὸν ἡ Σύνοδος αὕτη ἐπὶ τὸ κρατῦναι τὴν ἐν Νικαίᾳ πίστιν, οὐχὶ δὲ ἐπὶ τὸ μεταβαλεῖν αὐτήν, καὶ ἐπιμελῶς ἐξετάσασα τὰ περὶ τῆς αἱρέσεως τοῦ Μακεδονίου, ἔπραξεν ὅ,τι καὶ ἡ πρώτη κατὰ τοῦ Ἀρείου· τουτέστι, τὴν μὲν αἵρεσιν μετὰ τοῦ αἱρεσιάρχου ἀνεθεμάτισε, τοὺς δὲ χριστιανοὺς ἅπαντας ἐδίδαξε, τί χρὴ πιστεύειν περὶ τοῦ τρίτου προσώπου τῆς ἁγίας Τριάδος, ἀναπτύξασα τὰς ἰδιότητας αὐτοῦ, ὃν τρόπον ἡ Α' οἰκουμεν. Σύνοδος ἀνέπτυξε τὰς τοῦ δευτέρου προσώπου· ἐν τέλει δὲ προσέθηκε τὸ ὁμολογεῖν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ προσδοκᾷν ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος· τὰ δὲ περὶ πίστεως οὐδαμῶς μετεκίνησεν, οὐδ' ἠδύνατο μετακινῆσαι, ἀλλὰ κατέλιπεν αὐτὰ ὅπως ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου ὀρθῶς καὶ ἐξαρκούντως ἐστηλογραφήθησαν· καὶ ταῦτα πράξασα πρώτιστον ἔγραψε κανόνα τόνδε. "Ὥρισαν « οἱ ἐν Κωνσταντινουπόλει συνελθόντες ἅγιοι Πατέρες « μὴ ἀθετεῖσθαι τὴν πίστιν τῶν Πατέρων τῶν τριακο- « σίων δεκαοκτώ, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελ- « θόντων, ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθε- « ματισθῆναι πᾶσαν αἵρεσιν". Ἐκ μόνης τῆς ἀναγνώσεως τοῦ κανόνος τούτου κατανοεῖ καὶ ὁ ἐλάχιστον

νοῦν ἔχων ἄνθρωπος, ὅτι οἱ Πατέρες τῆς Β' οἰκουμεν. Συνόδου κατ' οὐδὲν μετέβαλον τὰ περὶ πίστεως δεδογμένα τῇ Α' Συνόδῳ, καὶ διὰ τοῦτο ὥρισαν ἐκείνην μόνην κρατεῖν· διότι ἄλλως ἔπραττον τὴν μεγίστην τῶν ἀδικιῶν, ἵνα μή τι χεῖρον εἴπω, ἐξ ἑνὸς μὲν ἀναθεματίζοντες τὸν ἄλλην παρὰ τὴν ἐν Νικαίᾳ πίστιν ἀποδεχόμενον, ἐξ ἑτέρου δὲ διδάσκοντες καὶ ἐντελλόμενοι πιστεύειν ἄλλα παρὰ τὰ ἐκείνῃ δεδογμένα. Ἐκύρωσαν λοιπὸν οἱ θεῖοι Πατέρες, ἀλλ' οὐ μετέβαλον τὸ παράπαν τὴν ἐν Νικαίᾳ πίστιν, τὴν διδάσκουσαν πιστεύειν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, τῆς δὲ Ἐκκλησίας οὐδὲ μνημονεύουσαν. Τοῦτο δὲ σαφέστατα ἐδήλωσαν οἱ Πατέρες αὐτοὶ ἔν τε τῇ πρὸς τὸν αὐτοκράτορα Θεοδόσιον ἐπιστολῇ αὐτῶν, ἣν ἔγραψαν μετὰ τὸ πέρας τῆς Συνόδου, καὶ ἐν τῇ πρὸς Δάμασον τὸν Ῥώμης Ἐπίσκοπον καὶ ἄλλους ἐν Ῥώμῃ συνεληλυθότας Ἐπισκόπους τῆς Δύσεως. Ἐν μὲν οὖν τῇ πρώτῃ τῶν ἐπιστολῶν τούτων λέγουσι πρὸς τὸν αὐτοκράτορα· «... ἔπειτα δὲ καὶ συντόμους ὅρους ἐξεφωνήσαμεν, « τήν τε τῶν Πατέρων πίστιν τῶν ἐν Νικαίᾳ κυρώ-« σαντες, καὶ τὰς κατ' αὐτῆς ἐκφυείσας αἱρέσεις ἀναθεματίσαντες ”. Ἐν δὲ τῇ δευτέρᾳ λέγουσι πρὸς τοὺς Ἐπισκόπους· “Ἡμεῖς γάρ, εἴτε διωγμούς, εἴτε « θλίψεις, εἴτε βασιλικὰς ἀπειλάς, εἴτε τὰς τῶν ἀρ-« χόντων ὠμότητας, εἴτε τινὰ πειρασμὸν ἕτερον παρὰ « τῶν αἱρετικῶν ὑπεμείναμεν, ὑπὲρ τῆς εὐαγγελικῆς

« πίστεως τῆς ἐν Νικαίᾳ τῆς Βιθυνίας παρὰ τῶν 318
« ἁγίων θεοφόρων Πατέρων κυρωθείσης, ὑπέστημεν.
« Ταύτην γὰρ καὶ ὑμῖν καὶ ἡμῖν καὶ πᾶσι τοῖς μὴ δια-
« στρέφουσι τὸν λόγον τῆς ἀληθοῦς πίστεως συναρέ-
« σκειν δεῖ, ἣν (γραπτέον ἴσως "τὴν") μόλις ποτὲ
« πρεσβυτάτην τε οὖσαν, καὶ ἀκόλουθον τῷ βαπτί-
« σματι, καὶ διδάσκουσαν ἡμᾶς πιστεύειν εἰς τὸ ὄνομα
« τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος".
Οἱ λόγοι οὗτοι τῶν εἰς τὴν Β' οἰκουμενικὴν Σύνοδον συνελθόντων Πατέρων οὕτω σαφεῖς εἰσιν, ὥστε οὐδὲ τὴν ἐλαχίστην καταλείπουσιν ἀμφιβολίαν, ὅτι τὰ περὶ πίστεως διέμειναν ἀμετακίνητα, καὶ οἷα ἐν τῇ Α' Συνόδῳ ὡρίσθησαν· προσετέθησαν δὲ ἐν τῷ Συμβόλῳ πράγματα ἀφορῶντα μὲν εἰς τὴν τελείωσιν τῆς πίστεως, οὐχ ὄντα δὲ πίστεως ὑποκείμενα, τουτέστιν ἡ ὁμολογία τοῦ βαπτίσματος, καὶ ἡ προσδοκία τῆς μελλούσης ζωῆς κ. τ. λ. Διὰ τοῦτο οὐδέποτε τὸ ἐν τῇ Ἐκκλησίᾳ ἡμῶν ἐπικρατοῦν ἓν καὶ μόνον Σύμβολον ὠνομάσθη Σύμβολον τῆς Κωνσταντινουπόλεως, καίτοι περιλαμβάνει τὰς ἐκεῖ γενομένας προσθήκας, ἀλλ' ἀείποτε ὀνομάζεται Σύμβολον τῆς Νικαίας, ὡς μιᾶς καὶ τῆς αὐτῆς πίστεως διδασκομένης ἐν ἀμφοτέροις, ὅπερ καθίστησιν ἀμφότερα ἓν καὶ τὸ αὐτό. Ὑπὸ τὸ ὄνομα τοῦτο φέρεται ἐν πάσαις ταῖς ἐφεξῆς γενομέναις Συνόδοις· ὑπὸ τοῦτο ἐν τοῖς συγγράμμασι πάντων τῶν Πατέρων· ὑπὸ τοῦτο μέχρι νῦν ἐν τοῖς στόμασι πάντων τῶν ὀρθοδόξων.

Μαρτυρίαι ἐκ τῶν λοιπῶν οἰκουμ. Συνόδων.

Καὶ βεβαίως μὲν τὸ ἀντιγράψαι σοι τὰς περὶ τουτου μαρτυρίας, ὅσαι ἐν ταῖς πράξεσι τῶν ἐφεξῆς συνελθουσῶν πέντε οἰκουμεν. Συνόδων περιλαμβάνονται, ἐργῶδές ἐστι καὶ εἰς μῆκος λόγου ἄγει ἀπέραντον. Ἀλλ' ἐπειδὴ αἱ τοιαῦται ἀναγνώσεις ἀλλότριαί εἰσι καὶ ἐπαχθεῖς τοῖς νεωτέροις ὑμῖν, περὶ ἄλλας ἐλαφρὰς καὶ τερπνὰς πάντα τὸν τῆς ἀνέσεως ὑμῶν καιρὸν δαπανᾷν προτιμῶσι, μικρὸν δὲ φροντίζουσιν, ὡς μήποτ' ὤφελε, τοῦ συνάπτειν τὸ τερπνὸν τῷ ὠφελίμῳ, ὀλίγα τινὰ καὶ συντομώτατα παραθήσομαί σοι μαρτύρια ἐκ τῶν πράξεων τῶν ἐφεξῆς γενομένων πέντε οἰκουμεν. Συνόδων, ὅπως ἐννοήσῃς πληρέστατα, ὅτι οὐδέποτε τὸ ἐν Κωνσταντινουπόλει συμπληρωθὲν Σύμβολον ἐνομίσθη διάφορον τοῦ ἐν Νικαίᾳ κατὰ τὴν ἔκθεσιν τῆς ὀρθοδόξου πίστεως, ἀλλ' ἀείποτε ἓν καὶ τὸ αὐτό. Τοῦτο σαφῶς λέγουσι καὶ οἱ ἀοίδιμοι συγγραφεῖς τοῦ Πηδαλίου (σελ. 86—87), τὰ περὶ τῆς Β' οἰκουμεν. Συνόδου ἱστοροῦντες. "Πλὴν ἂν καὶ τὰς « προσθήκας ταύτας καὶ ἐναλλαγὰς ἡ Β' αὕτη εἰς τὸ « Σύμβολον τῆς ἐν Νικαίᾳ ἐποίησε, μ' ὅλον τοῦτο αἱ « μετὰ ταῦτα Σύνοδοι ὡς ἓν Σύμβολον τὸ τῆς Α' καὶ « τὸ τῆς Β' ἐδέξαντο"[37]

---

[37] Καὶ οἱ συγγραφεῖς δὲ τῶν Ἐκκλησιαστικῶν Ἱστοριῶν οὕτως ἀποφαίνονται περὶ τούτου, οὐ μόνον οἱ ἡμέτεροι, ἀλλὰ καὶ τῶν ἑτεροδόξων ὅσοι μὴ συγγράφουσι κατὰ τὸ σύστημα τοῦ Fleury, ἀλλὰ κατὰ τὸν ἀπαράβατον κανόνα τοῦ ἀπαθῶς καὶ φιλαλήθως ἱστορεῖν τὰ γενόμενα. Οὕτως ὁ

« πίστεως τῆς ἐν Νικαίᾳ τῆς Βιθυνίας παρὰ τῶν 318
« ἁγίων θεοφόρων Πατέρων κυρωθείσης, ὑπέστημεν.
« Ταύτην γὰρ καὶ ὑμῖν καὶ ἡμῖν καὶ πᾶσι τοῖς μὴ δια-
« στρέφουσι τὸν λόγον τῆς ἀληθοῦς πίστεως συναρέ-
« σκειν δεῖ, ἣν (γραπτέον ἴσως "τὴν") μόλις ποτὲ
« πρεσβυτάτην τε οὖσαν, καὶ ἀκόλουθον τῷ βαπτί-
« σματι, καὶ διδάσκουσαν ἡμᾶς πιστεύειν εἰς τὸ ὄνομα
« τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος".
Οἱ λόγοι οὗτοι τῶν εἰς τὴν Β′ οἰκουμενικὴν Σύνοδον συνελθόντων Πατέρων οὕτω σαφεῖς εἰσιν, ὥστε οὐδὲ τὴν ἐλαχίστην καταλείπουσιν ἀμφιβολίαν, ὅτι τὰ περὶ πίστεως διέμειναν ἀμετακίνητα, καὶ οἷα ἐν τῇ Α′ Συνόδῳ ὡρίσθησαν· προσετέθησαν δὲ ἐν τῷ Συμβόλῳ πράγματα ἀφορῶντα μὲν εἰς τὴν τελείωσιν τῆς πίστεως, οὐκ ὄντα δὲ πίστεως ὑποκείμενα, τουτέστιν ἡ ὁμολογία τοῦ βαπτίσματος, καὶ ἡ προσδοκία τῆς μελλούσης ζωῆς κ. τ. λ. Διὰ τοῦτο οὐδέποτε τὸ ἐν τῇ Ἐκκλησίᾳ ἡμῶν ἐπικρατοῦν ἓν καὶ μόνον Σύμβολον ὠνομάσθη Σύμβολον τῆς Κωνσταντινουπόλεως, καίτοι περιλαμβάνει τὰς ἐκεῖ γενομένας προσθήκας, ἀλλ' ἀείποτε ὀνομάζεται Σύμβολον τῆς Νικαίας, ὡς μιᾶς καὶ τῆς αὐτῆς πίστεως διδασκομένης ἐν ἀμφοτέροις, ὅπερ καθίστησιν ἀμφότερα ἓν καὶ τὸ αὐτό. Ὑπὸ τὸ ὄνομα τοῦτο φέρεται ἐν πάσαις ταῖς ἐφεξῆς γενομέναις Συνόδοις· ὑπὸ τοῦτο ἐν τοῖς συγγράμμασι πάντων τῶν Πατέρων· ὑπὸ τοῦτο μέχρι νῦν ἐν τοῖς στόμασι πάντων τῶν ὀρθοδόξων.

« Πρεσβυτέρου.... ὑποκείσθωσαν τῇ ἀποφάσει τῆς ἁ-
« γίας ταύτης καὶ οἰκουμενικῆς Συνόδου· ὥστε δηλον-
« ότι τὸν μὲν Ἐπίσκοπον ἀπαλλοτριοῦσθαι τῆς
« ἐπισκοπῆς, καὶ εἶναι καθῃρημένον, τὸν
« δὲ Κληρικὸν ὁμοίως ἐκπίπτειν τοῦ κλήρου· εἰ δὲ λαϊ-
« κός τις εἴη, καὶ οὗτος ἀναθεματιζέσθω καθ' ἃ εἴρη-
« ται." Ἄριστα δὲ τὸν κανόνα τοῦτον διὰ μακρῶν
ἑρμηνεύουσιν οἵ τε συγγραφεῖς τοῦ Πηδαλίου καὶ
οἱ προμνημονευθέντες ἑρμηνευταὶ τῶν κανόνων, Ζωνα-
ρᾶς καὶ Βαλσαμών, συντομώτερον. Ἡ δὲ προσκομι-
σθεῖσα ἔκθεσις ὑπὸ Χαρισίου τοῦ Πρεσβυτέρου, ἡ ἐν
τῷ ὅρῳ τούτῳ μνημονευομένη, οὐδὲν ἄλλο ἦν ἢ τὸ
Σύμβολον τοῦ αἱρεσιάρχου Νεστορίου, διάφορον τοῦ
τῆς Νικαίας, ἀλλὰ διάφορον καὶ τοῦ Ἀρειανοῦ, οὕτως
ἔχον. "Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα,
« κτίστην ἁπάντων, ὁρατῶν τε καὶ ἀοράτων ποιητήν·
« καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν αὐτοῦ
« τὸν μονογενῆ, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, Θεὸν
« ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, ὁμοούσιον τῷ Πατρί,
« τὸν δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα
« ἐκ τῶν οὐρανῶν, σαρκωθέντα, γεννηθέντα ἐκ τῆς
« ἁγίας παρθένου, ἐνανθρωπήσαντα, σταυρωθέντα ὑπὲρ
« ἡμῶν, ἀποθανόντα, ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ,
« ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ πάλιν ἐρχόμενον
« κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ Πνεῦμα τῆς
« ἀληθείας, τὸ παράκλητον, ὁμοούσιον Πατρὶ καὶ Υἱῷ,

Γ' οἰκουμεν. Σύνοδος ἐν Ἐφέσῳ, τὸ 431 συνελθοῦσα ἐπὶ Θεοδοσίου τοῦ Β' ἢ μικροῦ.

Κατὰ δὴ ταῦτα καὶ ἡ Γ' οἰκουμενικὴ Σύνοδος, ἡ ἐν Ἐφέσῳ, ὅρον ἴδιον ἔγραψε περὶ τούτου, ἐν ᾧ ἐθέσπισεν „ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἤγουν συγ-« γράφειν ἢ συντιθέναι, παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν « ἁγίων Πατέρων τῶν ἐν τῇ Νικαέων συναχθέντων πό-« λει, σὺν ἁγίῳ Πνεύματι. Τοὺς δὲ τολμῶντας ἢ συν-« τιθέναι πίστιν ἑτέραν, ἢ γοῦν προσκομίζειν, ἢ προσ-« φέρειν τοῖς θέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν ἀλη-« θείας, ἢ ἐξ Ἑλληνισμοῦ, ἢ ἐξ Ἰουδαϊσμοῦ, ἢ γοῦν « ἐξ αἱρέσεως οἱασδήποτε, τούτους, εἰ μὲν εἶεν Ἐπί-« σκοποι ἢ Κληρικοί, ἀλλοτρίους εἶναι τοὺς Ἐπισκό-« πους τῆς ἐπισκοπῆς καὶ τοὺς Κληρικοὺς τοῦ κλήρου· « εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι. Κατὰ τὸν ἴσον « δὲ τρόπον, εἰ φωραθεῖέν τινες, εἴτε Ἐπίσκοποι, εἴτε « Κληρικοί, εἴτε λαϊκοί, ἢ φρονοῦντες ἢ διδάσκοντες « τὰ ἐν τῇ προσκομισθείσῃ ἐκθέσει παρὰ Χαρισίου τοῦ

Βασνάγιος (Histoire de la Réligion des Eglises reformées, tom. I. p. 254) λέγει περὶ τούτου· "Le Consile de Constantinople décida des matières plus importantes que celui de Nicée ; car il retablit la Divinité du S. Esprit, que Macédonius nioit. Il fit des decisions *sur la nature de l'Église*, du Batême, et de la resurection des morts." Ἴδε τοῦ αὐτοῦ Basnage καὶ τὴν Ἐκκλησ. Ἱστορ. (tom. I. p. 502 καὶ 503). Καὶ ὅμως οἱ καθ' ἡμᾶς θεολόγοι καὶ Ἀρχιερεῖς λέγουσι καὶ διδάσκουσι δημοσίᾳ, ὅτι ἡ ἐν Κωνσταντινουπόλει Σύνοδος προσέθηκεν ἐν τῷ Συμβόλῳ τὸ πιστεύειν εἰς τὴν Ἐκκλησίαν! τὸν δὲ λέγοντα, ὅτι ἡ Σύνοδος ἐδίδαξεν ἡμᾶς οὐχὶ τὸ λέγειν, ὅτι πιστεύομεν εἰς τὴν Ἐκκλησίαν, ἀλλ' ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν, τοῦτον ἀναιδῶς καλοῦσιν αἱρετικόν, αὐτοὶ κατὰ τὸν Ἄρειον τὸ Σύμβολον ἑρμηνεύοντες.

« ἔκθεσιν τῆς εὐσεβοῦς πίστεως προθέντες, τῆς πρότε-
« ρον μὲν παρὰ τῶν ἁγιωτάτων Ἀποστόλων παρα-
« δεδομένης ἡμῖν, μετὰ δὲ ταῦτα ἐκτεθείσης παρὰ τῶν
« τριακοσίων δεκαοκτὼ ἁγίων Πατέρων, ἐν τῇ Νικαέων
« μητροπόλει συνηγμένων παρὰ τοῦ ἐν ἁγίοις Κων-
« σταντίνου· οὗ τὴν ὀρθὴν πίστιν λαμπροτέραν ἐπέ-
« δειξε τὸ ὑμέτερον κράτος· καὶ τῇ ἐκθέσει ταύτῃ πρό-
« τερον μὲν τὰς περὶ τῆς πίστεως ἐπιστολὰς τοῦ
« θεοφιλεστάτου καὶ ἁγιωτάτου Ἀρχιεπισκόπου Κυρίλ-
« λου συγκρίναντες, συμφώνους εὕρομεν τοῖς τε δογ-
« μασι καὶ νοήμασι, καὶ κατ᾽ οὐδὲν ἀπηλλοτριωμένην
« τὴν αὐτοῦ διδασκαλίαν τῆς εὐσεβοῦς ἐκείνης ἐκθέ-
« σεως".—Καὶ ταῦτα μὲν τὰ ἐν τῇ Συνόδῳ πεπραγ-
μένα. Τὰς δὲ πρὸ τῆς Συνόδου γραφείσας ἐπιστολὰς πρός τε τὸν Νεστόριον αὐτὸν καὶ πρὸς ἄλλους ὑπὸ τοῦ Κυρίλλου καὶ τοῦ Κελεστίνου Πάπα Ῥώμης, ὀρθοδόξως πάνυ συνεργασαμένων πρὸς καταστροφὴν τῆς αἱρέσεως, ἐὰν ἐπιχειρήσω παραθέσθαι σοι, μακρότατος ἔσται ἡμῖν ὁ λόγος. Διὰ τοῦτο τἄλλα παραλείπων, ἓν μόνον μέρος παραθήσομαί σοι τῆς τελευταίας τοῦ Κυρίλλου ἐπιστολῆς πρὸς τὸν Νεστόριον, ὅπως ἴδῃς, ὅτι ἀείποτε τὸ ἐν Νικαίᾳ Σύμβολον καὶ ὠνομάζετο καὶ ἐνομίζετο μόνος κανὼν πίστεως· τὸ δὲ ἐν Κωνσταντινουπόλει ἐθεωρεῖτο δυνάμει ἐν ἐκείνῳ περιεχόμενον, καὶ ἀμφότερα ἓν καὶ τὸ αὐτό. Γράφει λοιπὸν ὁ Κύριλλος πρὸς τὸν Νεστόριον ἐν τῇ τελευταίᾳ αὐτοῦ

ἐπιστολῇ τάδε. "Οὐκ ἀρκέσει δὲ τῇ σῇ εὐλαβείᾳ τὸ
« συνομολογῆσαι μόνον τὸ τῆς πίστεως Σύμβολον, τὸ
« ἐκτεθὲν κατὰ καιροὺς ἐν ἁγίῳ Πνεύματι παρὰ τῆς
« ἁγίας καὶ μεγάλης Συνόδου τῆς κατὰ καιροὺς συν-
« αχθείσης ἐν τῇ Νικαέων· νενόηκας γὰρ καὶ ἡρμήνευ-
« σας οὐκ ὀρθῶς αὐτό, διεστραμμένως δὲ μᾶλλον, κἂν
« ὁμολογῇς τῇ φωνῇ τὴν λέξιν· ἀλλὰ γὰρ ἀκόλουθον
« ἐγγράφως καὶ ἐνωμότως ὁμολογῆσαι, ὅτι καὶ ἀνα-
« θεματίζεις μὲν τὰ μιαρὰ σαυτοῦ καὶ βέβηλα δόγ-
« ματα, φρονήσεις δὲ καὶ διδάξεις, ἃ καὶ ἡμεῖς πάντες,
« οἵ τε κατὰ τὴν ἑσπέραν καὶ τὴν ἑῴαν Ἐπίσκοποι καὶ
« διδάσκαλοι καὶ λαῶν ἡγούμενοι... Αὕτη γὰρ τῆς
« καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας ἡ πίστις, ᾗ
« συναινοῦσιν ἅπαντες, οἵ τε κατὰ τὴν ἑσπέραν καὶ τὴν
« ἑῴαν ὀρθόδοξοι Ἐπίσκοποι". Καὶ εὐθὺς μετὰ ταῦτα
ἐκτίθησι τὸ Σύμβολον τῆς πίστεως, οἷον ἐγράφη ἐν
Νικαίᾳ, οὐχὶ τὸ ἐν Κωνσταντινουπόλει συμπληρωθέν.
Ἀλλ' ἱκανὰ ταῦτα περὶ τῆς ἐν Ἐφέσῳ Γ' οἰκουμεν.
Συνόδου.

Δ' οἰκουμεν. Σύνοδος ἐν Χαλκηδόνι, τὸ 451 συνελθοῦσα ἐπὶ τοῦ αὐτοκράτορος Μαρκιανοῦ.

Ἡ δὲ τετάρτη οἰκουμενικὴ Σύνοδος, ἡ ἐν Χαλκηδόνι
συνελθοῦσα, ὥρισε τὰ ἑξῆς ἐν ᾗ ἔγραψε περὶ πίστεως
διατάξει. "... ὃ δὴ καὶ πεποιήκαμεν, κοινῇ ψήφῳ τὰ
« τῆς πλάνης ἀπελάσαντες δόγματα, τὴν δὲ ἀπλανῆ
« τῶν Πατέρων ἀνανεωσάμενοι πίστιν, τὸ τῶν τριακο-
« σίων δεκαοκτὼ Σύμβολον τοῖς πᾶσι κηρύξαντες, καὶ
« ὡς οἰκείους τοὺς τοῦτο τὸ σύνθεμα τῆς εὐσεβείας δε-

« ξαμένους Πατέρας ἐπιγραψάμενοι, οἵπερ εἰσὶν οἱ μετὰ
« ταῦτα ἐν τῇ μεγάλῃ Κωνσταντινουπόλει συνελθόντες
« ἑκατὸν πεντήκοντα, καὶ αὐτοὶ τὴν αὐτὴν ἐπι-
« σφραγισάμενοι πίστιν. Ὁρίζομεν τοίνυν...
« προλάμπειν μὲν τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως τὴν
« ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ ἁγίων καὶ μακα-
« ρίων Πατέρων τῶν ἐν Νικαίᾳ ἐπὶ τοῦ εὐσεβοῦς μνή-
« μης Κωνσταντίνου τοῦ γενομένου βασιλέως συν-
« αχθέντων· κρατεῖν δὲ καὶ τὰ παρὰ τῶν ἑκατὸν πεντή
« κοντα ἁγίων Πατέρων ἐν Κωνσταντινουπόλει ὁρι
« σθέντα, πρὸς ἀναίρεσιν μὲν τῶν τότε φυεισῶν αἱρέ
« σεων, βεβαίωσιν δὲ τῆς αὐτῆς καθολικῆς καὶ Ἀπο-
« στολικῆς ἡμῶν πίστεως... Διὰ τοῦτο πᾶσαν αὐτοῖς
« (τοῖς αἱρετικοῖς) ἀποκλεῖσαι κατὰ τῆς ἀληθείας μη-
« χανὴν βουλομένη ἡ παροῦσα νῦν αὕτη ἁγία μεγάλη
« καὶ οἰκουμενικὴ Σύνοδος, τὸ τοῦ κηρύγματος ἄνωθεν
« ἀσάλευτον ἐκδιδάσκουσα, ὥρισε προηγουμένως τῶν
« τριακοσίων δεκαοκτὼ ἁγίων Πατέρων τὴν πίστιν
« μένειν ἀπαρεγχείρητον". Ἐν τέλει δὲ τῆς διατά-
ξεως ταύτης τὸ αὐτὸ καὶ ἡ Σύνοδος αὕτη ἐπανέλαβεν
ἀνάθεμα κατὰ τῶν τολμώντων ἑτέραν πίστιν διδάσκειν,
ὃ καὶ ἡ ἐν Ἐφέσῳ ἐξεφώνησε. Καὶ ταῦτα μὲν τὰ ἐν
γένει δεδογμένα τῇ Δ' οἰκουμενικῇ Συνόδῳ. Ἐν δὲ τῇ
δευτέρᾳ Πράξει αὐτῆς πρῶτον μὲν ἀνεγνώσθη ἡ ἐν
Νικαίᾳ πίστις, καὶ μετὰ τὴν ἀνάγνωσιν "οἱ εὐλαβέ-
« στατοι Ἐπίσκοποι ἐβόησαν· Αὕτη ἡ πίστις τῶν ὀρθο-

« δόξων· ταύτῃ πάντες πιστεύομεν· ἐν ταύτῃ ἐβαπτί-
« σθημεν· ἐν ταύτῃ βαπτίζομεν· ὁ μακάριος Κύριλλος
« οὕτως ἐδίδαξεν· αὕτη ἡ ἀληθινὴ πίστις· αὕτη ἡ ἁγία
« πίστις· αὕτη αἰωνία πίστις· εἰς ταύτην ἐβαπτίσθημεν·
« εἰς ταύτην βαπτίζομεν· πάντες οὕτω πιστεύομεν,
« κ.τ.λ". Ἔπειτα δὲ διετάχθη καὶ "ἡ ἀνάγνωσις τῆς ἁγίας πίστεως, ἣν ἐξέθεντο οἱ ἅγιοι Πατέρες ρν', συμφωνοῦσα τῇ ἁγίᾳ καὶ μεγάλῃ Συνόδῳ τῇ ἐν Νικαίᾳ". Ἀναγνωσθείσης δὲ καὶ ταύτης, πάλιν τὰ αὐτὰ πάντες οἱ εὐλαβέστατοι Ἐπίσκοποι ἀνεβόησαν. "Αὕτη πάν-
« των πίστις· αὕτη πίστις τῶν ὀρθοδόξων· οὕτω πάντες
« πιστεύομεν· κ. τ. λ."

Ἐνταῦθα μικρὸν διακόπτων τὴν τῶν ἀποδείξεων ἔκθεσιν ἐρωτήσω τοὺς διδάσκοντας, ὅτι ἡ Β' οἰκουμενικὴ Σύνοδος παρέδωκεν ἡμῖν τὸ πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν· πότερον, οἱ οὕτω δὶς ἀναβοήσαντες 630 Πατέρες, ὅσοι παρῆσαν ἐν τῇ Δ' οἰκουμεν. Συνόδῳ, δύο πίστεις ἀνεβόων ἔχειν, ἢ μίαν καὶ τὴν αὐτὴν κατ' ἀμφοτέρας τὰς ἀναβοήσεις αὐτῶν ὡμολόγουν; Εἰ δὲ μίαν καὶ τὴν αὐτὴν ὡμολόγουν πίστιν τήν τε ἐν Νικαίᾳ καὶ τὴν ἐν Κωνσταντινουπόλει, ποῦ τῆς ἐν Νικαίᾳ πίστεως διδάσκεται τὸ πιστεύειν εἰς τὴν Ἐκκλησίαν; Εἰ δὲ πάλιν ἡ ἐν Κωνσταντινουπόλει πίστις προσέθηκεν εἰς τὴν πρώτην τὸ πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν, πῶς ἀμφότεραι, τοσαύτην ἔχουσαι διαφοράν, ὡς μία καὶ ἡ αὐτὴ κυρύττονται ὑπὸ 630 Πατέρων; πάντως

γὰρ ἡ ταυτότης ἀναιρεῖται, ὅταν ἀποδεχθῶμεν, ὅτι ἡ δευτέρα προσέθηκεν εἰς τὴν πρώτην καὶ τέταρτον πίστεως ὑποκείμενον. Ἀλλὰ λέγουσί μοι οἱ σοφοὶ οὗτοι δίπιστοι, ὅτι πλανῶμαι μετὰ τοῦ Φωτίου (ὢ τῆς εὐσεβοῦς πλάνης!), οὐκ ἐννοῶν, ὅτι τὸ πρὸ τοῦ Θ′ ἄρθρου τοῦ Συμβόλου παραλαμβανόμενον ὑπ' αὐτῶν "πιστεύω" οὐ ταὐτὸν δύναται τῷ ἐν τῷ Α′ καὶ Β′ καὶ Η′, ἀλλ' ὑπ' ἄλλην τινὰ σημασίαν λαμβάνεται, ἵνα σημαίνῃ τὸ "ἀποδέχομαι, σέβομαι, τιμῶ, καὶ τὰ τοιαῦτα"· ἕτοιμοι δέ εἰσιν, ὡς φαίνεται, καὶ ἕτερον κανόνα γραμματικὸν διδάξαι με ἐκ τοῦ Συντακτικοῦ τοῦ Κυρίου Ἀσωπίου, ὡς καὶ ἄλλοτε διὰ τῆς Κλειοῦς ἐδίδαξάν με ἐκ τοῦ αὐτοῦ Συντακτικοῦ, ὅτι ἡ σύνταξις βαίνει κατὰ τὴν σημασίαν τῶν συντασσομένων. Ποῖον δὲ τοῦτον ἑτοιμάζονται διδάξαι με τὸν κανόνα; Ὅτι "εἰς τὴν βραχυλο-
« γίαν ἀνάγεται καὶ τὸ συντακτικὸν σχῆμα τὸ κα-
« λούμενον Ζεῦγμα. Καλεῖται δὲ ζεῦγμα ἐκείνη
« τοῦ λόγου ἡ πλοκή, καθ' ἣν εἰς πλείονα κῶλα ἐννο-
« εῖται ἓν κοινὸν ῥῆμα, ἀλλ' ἐπὶ ἄλλης σημασίας, τὴν
« ὁποίαν ἢ αὐτὸ ἔχει, ἢ δυνατὸν ἐξαγαγεῖν δυνάμει τῆς
« τῶν ἐννοιῶν συγγενείας. Τοιοῦτο τὸ τοῦ Πινδάρου
« —ἕλεν δ' Οἰνομάου βίαν παρθένον τε
« σύνευνον—ἔνθα τὸ ἕλεν ἐπὶ μὲν τοῦ πρώτου
« κώλου σημαίνει τὸ ἐνίκησεν ἢ ἐφόνευσεν, ἐν δὲ τῷ
« δευτέρῳ τὸ ἔλαβε· τοιοῦτο δὲ καὶ τὸ Ὁμηρικόν—ἡ

ἐξεκόπη τέλεον διὰ τῶν ἐν τῷ Συμβόλῳ ἐκτεθεισῶν ἰδιοτήτων τοῦ Υἱοῦ, οὕτω καὶ τῆς Β' πρωτίστη ἐγένετο αἰτία ἡ κατὰ τοῦ ἁγίου Πνεύματος βλάσφημος αἵρεσις τοῦ Μακεδονίου. Συνελθοῦσα λοιπὸν ἡ Σύνοδος αὕτη ἐπὶ τὸ κρατῦναι τὴν ἐν Νικαίᾳ πίστιν, οὐχὶ δὲ ἐπὶ τὸ μεταβαλεῖν αὐτήν, καὶ ἐπιμελῶς ἐξετάσασα τὰ περὶ τῆς αἱρέσεως τοῦ Μακεδονίου, ἔπραξεν ὅ,τι καὶ ἡ πρώτη κατὰ τοῦ Ἀρείου· τουτέστι, τὴν μὲν αἵρεσιν μετὰ τοῦ αἱρεσιάρχου ἀνεθεμάτισε, τοὺς δὲ χριστιανοὺς ἅπαντας ἐδίδαξε, τί χρὴ πιστεύειν περὶ τοῦ τρίτου προσώπου τῆς ἁγίας Τριάδος, ἀναπτύξασα τὰς ἰδιότητας αὐτοῦ, ὃν τρόπον ἡ Α' οἰκουμεν. Σύνοδος ἀνέπτυξε τὰς τοῦ δευτέρου προσώπου· ἐν τέλει δὲ προσέθηκε τὸ ὁμολογεῖν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ προσδοκᾷν ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος· τὰ δὲ περὶ πίστεως οὐδαμῶς μετεκίνησεν, οὐδ' ἠδύνατο μετακινῆσαι, ἀλλὰ κατέλιπεν αὐτὰ ὅπως ὑπὸ τῆς ἐν Νικαίᾳ Συνόδου ὀρθῶς καὶ ἐξαρκούντως ἐστηλογραφήθησαν· καὶ ταῦτα πράξασα πρώτιστον ἔγραψε κανόνα τόνδε. "Ὥρισαν « οἱ ἐν Κωνσταντινουπόλει συνελθόντες ἅγιοι Πατέρες « μὴ ἀθετεῖσθαι τὴν πίστιν τῶν Πατέρων τῶν τριακο-« σίων δεκαοκτώ, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελ-« θόντων, ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθε-« ματισθῆναι πᾶσαν αἵρεσιν". Ἐκ μόνης τῆς ἀναγνώσεως τοῦ κανόνος τούτου κατανοεῖ καὶ ὁ ἐλάχιστον

νοῦν ἔχων ἄνθρωπος, ὅτι οἱ Πατέρες τῆς Β′ οἰκουμεν. Συνόδου κατ' οὐδὲν μετέβαλον τὰ περὶ πίστεως δεδογμένα τῇ Α′ Συνόδῳ, καὶ διὰ τοῦτο ὥρισαν ἐκείνην μόνην κρατεῖν· διότι ἄλλως ἔπραττον τὴν μεγίστην τῶν ἀδικιῶν, ἵνα μή τι χεῖρον εἴπω, ἐξ ἑνὸς μὲν ἀναθεματίζοντες τὸν ἄλλην παρὰ τὴν ἐν Νικαίᾳ πίστιν ἀποδεχόμενον, ἐξ ἑτέρου δὲ διδάσκοντες καὶ ἐντελλόμενοι πιστεύειν ἄλλα παρὰ τὰ ἐκείνῃ δεδογμένα. Ἐκύρωσαν λοιπὸν οἱ θεῖοι Πατέρες, ἀλλ' οὐ μετέβαλον τὸ παράπαν τὴν ἐν Νικαίᾳ πίστιν, τὴν διδάσκουσαν πιστεύειν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, τῆς δὲ Ἐκκλησίας οὐδὲ μνημονεύουσαν. Τοῦτο δὲ σαφέστατα ἐδήλωσαν οἱ Πατέρες αὐτοὶ ἔν τε τῇ πρὸς τὸν αὐτοκράτορα Θεοδόσιον ἐπιστολῇ αὐτῶν, ἣν ἔγραψαν μετὰ τὸ πέρας τῆς Συνόδου, καὶ ἐν τῇ πρὸς Δάμασον τὸν Ῥώμης Ἐπίσκοπον καὶ ἄλλους ἐν Ῥώμῃ συνεληλυθότας Ἐπισκόπους τῆς Δύσεως. Ἐν μὲν οὖν τῇ πρώτῃ τῶν ἐπιστολῶν τούτων λέγουσι πρὸς τὸν αὐτοκράτορα·
« . . . ἔπειτα δὲ καὶ συντόμους ὅρους ἐξεφωνήσαμεν,
« τήν τε τῶν Πατέρων πίστιν τῶν ἐν Νικαίᾳ κυρώ-
« σαντες, καὶ τὰς κατ' αὐτῆς ἐκφυείσας αἱρέσεις ἀναθεματίσαντες ”. Ἐν δὲ τῇ δευτέρᾳ λέγουσι πρὸς τοὺς Ἐπισκόπους· “ Ἡμεῖς γάρ, εἴτε διωγμούς, εἴτε
« θλίψεις, εἴτε βασιλικὰς ἀπειλάς, εἴτε τὰς τῶν ἀρ-
« χόντων ὠμότητας, εἴτε τινὰ πειρασμὸν ἕτερον παρὰ
« τῶν αἱρετικῶν ὑπεμείναμεν, ὑπὲρ τῆς εὐαγγελικῆς

« πίστεως τῆς ἐν Νικαίᾳ τῆς Βιθυνίας παρὰ τῶν 318
« ἁγίων θεοφόρων Πατέρων κυρωθείσης, ὑπέστημεν.
« Ταύτην γὰρ καὶ ὑμῖν καὶ ἡμῖν καὶ πᾶσι τοῖς μὴ δια-
« στρέφουσι τὸν λόγον τῆς ἀληθοῦς πίστεως συναρέ-
« σκειν δεῖ, ἣν (γραπτέον ἴσως "τὴν") μόλις ποτὲ
« πρεσβυτάτην τε οὖσαν, καὶ ἀκόλουθον τῷ βαπτί-
« σματι, καὶ διδάσκουσαν ἡμᾶς πιστεύειν εἰς τὸ ὄνομα
« τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος".
Οἱ λόγοι οὗτοι τῶν εἰς τὴν Β′ οἰκουμενικὴν Σύνοδον συνελθόντων Πατέρων οὕτω σαφεῖς εἰσιν, ὥστε οὐδὲ τὴν ἐλαχίστην καταλείπουσιν ἀμφιβολίαν, ὅτι τὰ περὶ πίστεως διέμειναν ἀμετακίνητα, καὶ οἷα ἐν τῇ Α′ Συνόδῳ ὡρίσθησαν· προσετέθησαν δὲ ἐν τῷ Συμβόλῳ πράγματα ἀφορῶντα μὲν εἰς τὴν τελείωσιν τῆς πίστεως, οὐκ ὄντα δὲ πίστεως ὑποκείμενα, τουτέστιν ἡ ὁμολογία τοῦ βαπτίσματος, καὶ ἡ προσδοκία τῆς μελλούσης ζωῆς κ. τ. λ. Διὰ τοῦτο οὐδέποτε τὸ ἐν τῇ Ἐκκλησίᾳ ἡμῶν ἐπικρατοῦν ἓν καὶ μόνον Σύμβολον ὠνομάσθη Σύμβολον τῆς Κωνσταντινουπόλεως, καίτοι περιλαμβάνει τὰς ἐκεῖ γενομένας προσθήκας, ἀλλ' ἀείποτε ὀνομάζεται Σύμβολον τῆς Νικαίας, ὡς μιᾶς καὶ τῆς αὐτῆς πίστεως διδασκομένης ἐν ἀμφοτέροις, ὅπερ καθίστησιν ἀμφότερα ἓν καὶ τὸ αὐτό. Ὑπὸ τὸ ὄνομα τοῦτο φέρεται ἐν πάσαις ταῖς ἐφεξῆς γενομέναις Συνόδοις· ὑπὸ τοῦτο ἐν τοῖς συγγράμμασι πάντων τῶν Πατέρων· ὑπὸ τοῦτο μέχρι νῦν ἐν τοῖς στόμασι πάντων τῶν ὀρθοδόξων.

Μαρτυρίαι ἐκ τῶν λοιπῶν οἰκουμ. Συνόδων.

Καὶ βεβαίως μὲν τὸ ἀντιγράψαι σοι τὰς περὶ τουτου μαρτυρίας, ὅσαι ἐν ταῖς πράξεσι τῶν ἐφεξῆς συνελθουσῶν πέντε οἰκουμεν. Συνόδων περιλαμβάνονται, ἐργῶδές ἐστι καὶ εἰς μῆκος λόγου ἄγει ἀπέραντον. Ἀλλ' ἐπειδὴ αἱ τοιαῦται ἀναγνώσεις ἀλλότριαί εἰσι καὶ ἐπαχθεῖς τοῖς νεωτέροις ὑμῖν, περὶ ἄλλας ἐλαφρὰς καὶ τερπνὰς πάντα τὸν τῆς ἀνέσεως ὑμῶν καιρὸν δαπανᾷν προτιμῶσι, μικρὸν δὲ φροντίζουσιν, ὡς μήποτ' ὤφελε, τοῦ συνάπτειν τὸ τερπνὸν τῷ ὠφελίμῳ, ὀλίγα τινὰ καὶ συντομώτατα παραθήσομαί σοι μαρτύρια ἐκ τῶν πράξεων τῶν ἐφεξῆς γενομένων πέντε οἰκουμεν. Συνόδων, ὅπως ἐννοήσῃς πληρέστατα, ὅτι οὐδέποτε τὸ ἐν Κωνσταντινουπόλει συμπληρωθὲν Σύμβολον ἐνομίσθη διάφορον τοῦ ἐν Νικαίᾳ κατὰ τὴν ἔκθεσιν τῆς ὀρθοδόξου πίστεως, ἀλλ' ἀείποτε ἓν καὶ τὸ αὐτό. Τοῦτο σαφῶς λέγουσι καὶ οἱ ἀοίδιμοι συγγραφεῖς τοῦ Π η δ α λ ί ο υ (σελ. 86—87), τὰ περὶ τῆς Β' οἰκουμεν. Συνόδου ἱστοροῦντες. "Πλὴν ἂν καὶ τὰς « προσθήκας ταύτας καὶ ἐναλλαγὰς ἡ Β' αὕτη εἰς τὸ « Σύμβολον τῆς ἐν Νικαίᾳ ἐποίησε, μ' ὅλον τοῦτο αἱ « μετὰ ταῦτα Σύνοδοι ὡς ἓν Σύμβολον τὸ τῆς Α' καὶ « τὸ τῆς Β' ἐδέξαντο" [37]

---

[37] Καὶ οἱ συγγραφεῖς δὲ τῶν Ἐκκλησιαστικῶν Ἱστοριῶν οὕτως ἀποφαίνονται περὶ τούτου, οὐ μόνον οἱ ἡμέτεροι, ἀλλὰ καὶ τῶν ἑτεροδόξων ὅσοι μὴ συγγράφουσι κατὰ τὸ σύστημα τοῦ Fleury, ἀλλὰ κατὰ τὸν ἀπαράβατον κανόνα τοῦ ἀπαθῶς καὶ φιλαλήθως ἱστορεῖν τὰ γενόμενα. Οὕτως ὁ

Γ′ οἰκουμεν. Σύνοδος ἐν Ἐφέσῳ, τὸ 431 συνελθοῦσα ἐπὶ Θεοδοσίου τοῦ Β′ ἢ μικροῦ.

Κατὰ δὴ ταῦτα καὶ ἡ Γ′ οἰκουμενικὴ Σύνοδος, ἡ ἐν Ἐφέσῳ, ὅρον ἴδιον ἔγραψε περὶ τούτου, ἐν ᾧ ἐθέσπισεν « ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἤγουν συγ-« γράφειν ἢ συντιθέναι, παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν « ἁγίων Πατέρων τῶν ἐν τῇ Νικαέων συναχθέντων πό-« λει, σὺν ἁγίῳ Πνεύματι. Τοὺς δὲ τολμῶντας ἢ συν-« τιθέναι πίστιν ἑτέραν, ἢ γοῦν προσκομίζειν, ἢ προσ-« φέρειν τοῖς θέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν ἀλη-« θείας, ἢ ἐξ Ἑλληνισμοῦ, ἢ ἐξ Ἰουδαϊσμοῦ, ἢ γοῦν « ἐξ αἱρέσεως οἱασδήποτε, τούτους, εἰ μὲν εἶεν Ἐπί-« σκοποι ἢ Κληρικοί, ἀλλοτρίους εἶναι τοὺς Ἐπισκό-« πους τῆς ἐπισκοπῆς καὶ τοὺς Κληρικοὺς τοῦ κλήρου· « εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι. Κατὰ τὸν ἴσον « δὲ τρόπον, εἰ φωραθεῖέν τινες, εἴτε Ἐπίσκοποι, εἴτε « Κληρικοί, εἴτε λαϊκοί, ἢ φρονοῦντες ἢ διδάσκοντες « τὰ ἐν τῇ προσκομισθείσῃ ἐκθέσει παρὰ Χαρισίου τοῦ

Βασνάγιος (Histoire de la Réligion des Eglises reformées, tom. I. p. 254) λέγει περὶ τούτου· "Le Consile de Constantinople décida des matières plus importantes que celui de Nicée ; car il retablit la Divinité du S. Esprit, que Macédonius nioit. Il fit des decisions *sur la nature de l'Église*, du Batême, et de la resurection des morts." Ἴδε τοῦ αὐτοῦ Basnage καὶ τὴν Ἐκκλησ. Ἱστορ. (tom. I. p. 502 καὶ 503). Καὶ ὅμως οἱ καθ' ἡμᾶς θεολόγοι καὶ Ἀρχιερεῖς λέγουσι καὶ διδάσκουσι δημοσίᾳ, ὅτι ἡ ἐν Κωνσταντινουπόλει Σύνοδος προσέθηκεν ἐν τῷ Συμβόλῳ τὸ πιστεύειν εἰς τὴν Ἐκκλησίαν! τὸν δὲ λέγοντα, ὅτι ἡ Σύνοδος ἐδίδαξεν ἡμᾶς οὐχὶ τὸ λέγειν, ὅτι πιστεύομεν εἰς τὴν Ἐκκλησίαν, ἀλλ' ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν, τοῦτον ἀναιδῶς καλοῦσιν αἱρετικόν, αὐτοὶ κατὰ τὸν Ἄρειον τὸ Σύμβολον ἑρμηνεύοντες.

« Πρεσβυτέρου .... ὑποκείσθωσαν τῇ ἀποφάσει τῆς ἁ-
« γίας ταύτης καὶ οἰκουμενικῆς Συνόδου· ὥστε δηλον-
« ότι τὸν μὲν Ἐπίσκοπον ἀπαλλοτριοῦσθαι τῆς
« ἐπισκοπῆς, καὶ εἶναι καθηρημένον, τὸν
« δὲ Κληρικὸν ὁμοίως ἐκπίπτειν τοῦ κλήρου· εἰ δὲ λαϊ-
« κός τις εἴη, καὶ οὗτος ἀναθεματιζέσθω καθ' ἃ εἴρη-
« ται." Ἄριστα δὲ τὸν κανόνα τοῦτον διὰ μακρῶν
ἑρμηνεύουσιν οἵ τε συγγραφεῖς τοῦ Πηδαλίου καὶ
οἱ προμνημονευθέντες ἑρμηνευταὶ τῶν κανόνων, Ζωνα-
ρᾶς καὶ Βαλσαμών, συντομώτερον. Ἡ δὲ προσκομι-
σθεῖσα ἔκθεσις ὑπὸ Χαρισίου τοῦ Πρεσβυτέρου, ἡ ἐν
τῷ ὅρῳ τούτῳ μνημονευομένη, οὐδὲν ἄλλο ἦν ἢ τὸ
Σύμβολον τοῦ αἱρεσιάρχου Νεστορίου, διάφορον τοῦ
τῆς Νικαίας, ἀλλὰ διάφορον καὶ τοῦ Ἀρειανοῦ, οὕτως
ἔχον. "Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα,
« κτίστην ἁπάντων, ὁρατῶν τε καὶ ἀοράτων ποιητήν·
« καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν αὐτοῦ
« τὸν μονογενῆ, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, Θεὸν
« ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, ὁμοούσιον τῷ Πατρί,
« τὸν δι' ἡμᾶς καὶ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα
« ἐκ τῶν οὐρανῶν, σαρκωθέντα, γεννηθέντα ἐκ τῆς
« ἁγίας παρθένου, ἐνανθρωπήσαντα, σταυρωθέντα ὑπὲρ
« ἡμῶν, ἀποθανόντα, ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ,
« ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ πάλιν ἐρχόμενον
« κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ Πνεῦμα τῆς
« ἀληθείας, τὸ παράκλητον, ὁμοούσιον Πατρὶ καὶ Υἱῷ,

« καὶ εἰς ἁγίαν καθολικὴν Ἐκκλησίαν· εἰς ἀνάστασιν « νεκρῶν· εἰς ζωὴν αἰώνιον".[38] Τοῦτο λοιπὸν τὸ Σύμβολον τοῦ Νεστορίου (ὃ ἀρέσκει, ὡς φαίνεται, τοῖς διδάσκουσιν ἐννοεῖν πρὸ τοῦ Θ′ ἄρθρου τοῦ ἡμετέρου Συμβόλου τὸ ῥῆμα "πιστεύω", καὶ ἀληθῶς χρησιμεύει αὐτοῖς εἰς ἀπόδειξιν τῆς ἑαυτῶν διδασκαλίας) ὁμοφώνως ἡ Σύνοδος ἀπεδοκίμασε καὶ ἀπέβαλε, θεσπίσασα μίαν μόνην πίστιν τὴν ἐν Νικαίᾳ κρατεῖν· καὶ ταύτην εὐθὺς ἀρχομένη ἀνέγνω, ὡς ἐγράφη ἐν Νικαίᾳ·[39] καὶ πάντες οἱ παρόντες 200 Πατέρες, ἀλλεπάλληλοι ἀνιστάμενοι, ὡμολόγουν τὴν πίστιν ταύτην. Μετὰ δὲ τὸ πέρας τῶν ἐργασιῶν αὐτῆς ἔγραψεν ἡ Σύνοδος πρὸς τὸν αὐτοκράτορα τάδε. "... Ἐπειδὴ οὖν οὐκ ἔδει τὴν « τοσαύτην ἁγίαν Σύνοδον συνελθοῦσαν ἄπρακτον μέ« νειν, ἐκείνου (τοῦ Νεστορίου) κακῷ συνειδότι μὴ « ἀπαντήσαντος, τὰ περὶ τῆς πίστεως καὶ τῆς εὐσε« βείας ἀναγκαίως ἐκινοῦμεν δόγματα, προλάμπειν τῶν « πραττομένων ὑπομνημάτων ὑποτυπώσαντες τὸ θεο« φιλὲς γράμμα τῆς ὑμετέρας πρεσβείας· μεθ' ὃ τὴν

---

[38] Ἰδοὺ καὶ ἕτερον Σύμβολον, τὸ τοῦ αἱρεσιάρχου Νεστορίου, μαρτυροῦν ὑπὲρ τῶν λεγόντων, ὅτι ἐννοητέον ἐστὶ πρὸ τοῦ Θ′ ἄρθρον τοῦ ἡμετέρου Συμβόλου τὸ ῥῆμα "πιστεύω". Ἔχουσι λοιπὸν μέχρι τοῦδε δύο ὑπὲρ αὐτῶν μαρτυροῦντα Σύμβολα, τὸ τοῦ Ἀρείου καὶ τὸ τοῦ Νεστορίου· οἷος θησαυρὸς μαρτυριῶν!

[39] Ἠγνόει ἆρά γε ἡ ἐν Ἐφέσῳ Σύνοδος τὴν πρὸ 50 ἐτῶν ἐν Κωνσταντινουπόλει γραφεῖσαν πίστιν, καὶ διὰ τοῦτο ἀνέγνω τὴν ἐν Νικαίᾳ, ἢ ἀμφοτέρας μίαν καὶ τὴν αὐτὴν νομίζουσα ἀνέγνω τὴν πρώτην;

« ἔκθεσιν τῆς εὐσεβοῦς πίστεως προθέντες, τῆς πρότε-
« ρον μὲν παρὰ τῶν ἁγιωτάτων Ἀποστόλων παρα-
« δεδομένης ἡμῖν, μετὰ δὲ ταῦτα ἐκτεθείσης παρὰ τῶν
« τριακοσίων δεκαοκτὼ ἁγίων Πατέρων, ἐν τῇ Νικαέων
« μητροπόλει συνηγμένων παρὰ τοῦ ἐν ἁγίοις Κων-
« σταντίνου· οὗ τὴν ὀρθὴν πίστιν λαμπροτέραν ἐπέ-
« δειξε τὸ ὑμέτερον κράτος· καὶ τῇ ἐκθέσει ταύτῃ πρό-
« τερον μὲν τὰς περὶ τῆς πίστεως ἐπιστολὰς τοῦ
« θεοφιλεστάτου καὶ ἁγιωτάτου Ἀρχιεπισκόπου Κυρίλ-
« λου συγκρίναντες, συμφώνους εὕρομεν τοῖς τε δογ-
« μασι καὶ νοήμασι, καὶ κατ' οὐδὲν ἀπηλλοτριωμένην
« τὴν αὐτοῦ διδασκαλίαν τῆς εὐσεβοῦς ἐκείνης ἐκθέ-
« σεως".—Καὶ ταῦτα μὲν τὰ ἐν τῇ Συνόδῳ πεπραγ-
μένα. Τὰς δὲ πρὸ τῆς Συνόδου γραφείσας ἐπιστολὰς
πρός τε τὸν Νεστόριον αὐτὸν καὶ πρὸς ἄλλους ὑπὸ τοῦ
Κυρίλλου καὶ τοῦ Κελεστίνου Πάπα Ῥώμης, ὀρθο-
δόξως πάνυ συνεργασαμένων πρὸς καταστροφὴν τῆς
αἱρέσεως, ἐὰν ἐπιχειρήσω παραθέσθαι σοι, μακρότατος
ἔσται ἡμῖν ὁ λόγος. Διὰ τοῦτο τἆλλα παραλείπων, ἓν
μόνον μέρος παραθήσομαί σοι τῆς τελευταίας τοῦ
Κυρίλλου ἐπιστολῆς πρὸς τὸν Νεστόριον, ὅπως ἴδῃς,
ὅτι ἀείποτε τὸ ἐν Νικαίᾳ Σύμβολον καὶ ὠνομάζετο
καὶ ἐνομίζετο μόνος κανὼν πίστεως· τὸ δὲ ἐν Κων-
σταντινουπόλει ἐθεωρεῖτο δυνάμει ἐν ἐκείνῳ περιεχό-
μενον, καὶ ἀμφότερα ἓν καὶ τὸ αὐτό. Γράφει λοιπὸν
ὁ Κύριλλος πρὸς τὸν Νεστόριον ἐν τῇ τελευταίᾳ αὐτοῦ

ἐπιστολῇ τάδε. "Οὐκ ἀρκέσει δὲ τῇ σῇ εὐλαβείᾳ τὸ « συνομολογῆσαι μόνον τὸ τῆς πίστεως Σύμβολον, τὸ « ἐκτεθὲν κατὰ καιροὺς ἐν ἁγίῳ Πνεύματι παρὰ τῆς « ἁγίας καὶ μεγάλης Συνόδου τῆς κατὰ καιροὺς συν- « αχθείσης ἐν τῇ Νικαέων· νενόηκας γὰρ καὶ ἡρμήνευ- « σας οὐκ ὀρθῶς αὐτό, διεστραμμένως δὲ μᾶλλον, κἂν « ὁμολογῇς τῇ φωνῇ τὴν λέξιν· ἀλλὰ γὰρ ἀκόλουθον « ἐγγράφως καὶ ἐνωμότως ὁμολογῆσαι, ὅτι καὶ ἀνα- « θεματίζεις μὲν τὰ μιαρὰ σαυτοῦ καὶ βέβηλα δόγ- « ματα, φρονήσεις δὲ καὶ διδάξεις, ἃ καὶ ἡμεῖς πάντες, « οἵ τε κατὰ τὴν ἑσπέραν καὶ τὴν ἑῴαν Ἐπίσκοποι καὶ « διδάσκαλοι καὶ λαῶν ἡγούμενοι... Αὕτη γὰρ τῆς « καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας ἡ πίστις, ᾗ « συναινοῦσιν ἅπαντες, οἵ τε κατὰ τὴν ἑσπέραν καὶ τὴν « ἑῴαν ὀρθόδοξοι Ἐπίσκοποι". Καὶ εὐθὺς μετὰ ταῦτα ἐκτίθησι τὸ Σύμβολον τῆς πίστεως, οἷον ἐγράφη ἐν Νικαίᾳ, οὐχὶ τὸ ἐν Κωνσταντινουπόλει συμπληρωθέν. Ἀλλ' ἱκανὰ ταῦτα περὶ τῆς ἐν Ἐφέσῳ Γ' οἰκουμεν. Συνόδου.

Δ' οἰκουμεν. Σύνοδος ἐν Χαλκηδόνι, τὸ 451 συνελθοῦσα ἐπὶ τοῦ αὐτοκράτορος Μαρκιανοῦ.

Ἡ δὲ τετάρτη οἰκουμενικὴ Σύνοδος, ἡ ἐν Χαλκηδόνι συνελθοῦσα, ὥρισε τὰ ἑξῆς ἐν ᾗ ἔγραψε περὶ πίστεως διατάξει. "...ὃ δὴ καὶ πεποιήκαμεν, κοινῇ ψήφῳ τὰ « τῆς πλάνης ἀπελάσαντες δόγματα, τὴν δὲ ἀπλανῆ « τῶν Πατέρων ἀνανεωσάμενοι πίστιν, τὸ τῶν τριακο- « σίων δεκαοκτὼ Σύμβολον τοῖς πᾶσι κηρύξαντες, καὶ « ὡς οἰκείους τοὺς τοῦτο τὸ σύνθεμα τῆς εὐσεβείας δε-

« ξαμένους Πατέρας ἐπιγραψάμενοι, οἵπερ εἰσὶν οἱ μετὰ
« ταῦτα ἐν τῇ μεγάλῃ Κωνσταντινουπόλει συνελθόντες
« ἑκατὸν πεντήκοντα, καὶ αὐτοὶ τὴν αὐτὴν ἐπι-
« σφραγισάμενοι πίστιν. Ὁρίζομεν τοίνυν...
« προλάμπειν μὲν τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως τὴν
« ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ ἁγίων καὶ μακα-
« ρίων Πατέρων τῶν ἐν Νικαίᾳ ἐπὶ τοῦ εὐσεβοῦς μνή-
« μης Κωνσταντίνου τοῦ γενομένου βασιλέως συν-
« αχθέντων· κρατεῖν δὲ καὶ τὰ παρὰ τῶν ἑκατὸν πεντή
« κοντα ἁγίων Πατέρων ἐν Κωνσταντινουπόλει ὁρι
« σθέντα, πρὸς ἀναίρεσιν μὲν τῶν τότε φυεισῶν αἱρέ
« σεων, βεβαίωσιν δὲ τῆς αὐτῆς καθολικῆς καὶ Ἀπο-
« στολικῆς ἡμῶν πίστεως... Διὰ τοῦτο πᾶσαν αὐτοῖς
« (τοῖς αἱρετικοῖς) ἀποκλεῖσαι κατὰ τῆς ἀληθείας μη-
« χανὴν βουλομένη ἡ παροῦσα νῦν αὕτη ἁγία μεγάλη
« καὶ οἰκουμενικὴ Σύνοδος, τὸ τοῦ κηρύγματος ἄνωθεν
« ἀσάλευτον ἐκδιδάσκουσα, ὥρισε προηγουμένως τῶν
« τριακοσίων δεκαοκτὼ ἁγίων Πατέρων τὴν πίστιν
« μένειν ἀπαρεγχείρητον". Ἐν τέλει δὲ τῆς διατά-
ξεως ταύτης τὸ αὐτὸ καὶ ἡ Σύνοδος αὕτη ἐπανέλαβεν
ἀνάθεμα κατὰ τῶν τολμώντων ἑτέραν πίστιν διδάσκειν,
ὃ καὶ ἡ ἐν Ἐφέσῳ ἐξεφώνησε. Καὶ ταῦτα μὲν τὰ ἐν
γένει δεδογμένα τῇ Δ′ οἰκουμενικῇ Συνόδῳ. Ἐν δὲ τῇ
δευτέρᾳ Πράξει αὐτῆς πρῶτον μὲν ἀνεγνώσθη ἡ ἐν
Νικαίᾳ πίστις, καὶ μετὰ τὴν ἀνάγνωσιν "οἱ εὐλαβέ-
« στατοι Ἐπίσκοποι ἐβόησαν· Αὕτη ἡ πίστις τῶν ὀρθο-

« δόξων· ταύτῃ πάντες πιστεύομεν· ἐν ταύτῃ ἐβαπτί-
« σθημεν· ἐν ταύτῃ βαπτίζομεν· ὁ μακάριος Κύριλλος
« οὕτως ἐδίδαξεν· αὕτη ἡ ἀληθινὴ πίστις· αὕτη ἡ ἁγία
« πίστις· αὕτη αἰωνία πίστις· εἰς ταύτην ἐβαπτίσθημεν·
« εἰς ταύτην βαπτίζομεν· πάντες οὕτω πιστεύομεν,
« κ.τ.λ". Ἔπειτα δὲ διετάχθη καὶ " ἡ ἀνάγνωσις τῆς ἁγίας
πίστεως, ἣν ἐξέθεντο οἱ ἅγιοι Πατέρες ρν′, συμφω-
νοῦσα τῇ ἁγίᾳ καὶ μεγάλῃ Συνόδῳ τῇ ἐν Νικαίᾳ".
Ἀναγνωσθείσης δὲ καὶ ταύτης, πάλιν τὰ αὐτὰ πάντες
οἱ εὐλαβέστατοι Ἐπίσκοποι ἀνεβόησαν. " Αὕτη πάν-
« των πίστις· αὕτη πίστις τῶν ὀρθοδόξων· οὕτω πάντες
« πιστεύομεν· κ. τ. λ."

Ἐνταῦθα μικρὸν διακόπτων τὴν τῶν ἀποδείξεων ἔκθεσιν ἐρωτήσω τοὺς διδάσκοντας, ὅτι ἡ Β′ οἰκουμενικὴ Σύνοδος παρέδωκεν ἡμῖν τὸ πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν· πότερον, οἱ οὕτω δὶς ἀναβοήσαντες 630 Πατέρες, ὅσοι παρῆσαν ἐν τῇ Δ′ οἰκουμεν. Συνόδῳ, δύο πίστεις ἀνεβόων ἔχειν, ἢ μίαν καὶ τὴν αὐτὴν κατ' ἀμφοτέρας τὰς ἀναβοήσεις αὐτῶν ὡμολόγουν; Εἰ δὲ μίαν καὶ τὴν αὐτὴν ὡμολόγουν πίστιν τήν τε ἐν Νικαίᾳ καὶ τὴν ἐν Κωνσταντινουπόλει, ποῦ τῆς ἐν Νικαίᾳ πίστεως διδάσκεται τὸ πιστεύειν εἰς τὴν Ἐκκλησίαν; Εἰ δὲ πάλιν ἡ ἐν Κωνσταντινουπόλει πίστις προσέθηκεν εἰς τὴν πρώτην τὸ πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν, πῶς ἀμφότεραι, τοσαύτην ἔχουσαι διαφοράν, ὡς μία καὶ ἡ αὐτὴ κηρύττονται ὑπὸ 630 Πατέρων; πάντως

γὰρ ἡ ταυτότης ἀναιρεῖται, ὅταν ἀποδεχθῶμεν, ὅτι ἡ δευτέρα προσέθηκεν εἰς τὴν πρώτην καὶ τέταρτον πίστεως ὑποκείμενον. Ἀλλὰ λέγουσί μοι οἱ σοφοὶ οὗτοι δίπιστοι, ὅτι πλανῶμαι μετὰ τοῦ Φωτίου (ὢ τῆς εὐσεβοῦς πλάνης!), οὐκ ἐννοῶν, ὅτι τὸ πρὸ τοῦ Θ′ ἄρθρου τοῦ Συμβόλου παραλαμβανόμενον ὑπ' αὐτῶν "πιστεύω" οὐ ταὐτὸν δύναται τῷ ἐν τῷ Α′ καὶ Β′ καὶ Η′, ἀλλ' ὑπ' ἄλλην τινὰ σημασίαν λαμβάνεται, ἵνα σημαίνῃ τὸ "ἀποδέχομαι, σέβομαι, τιμῶ, καὶ τὰ τοιαῦτα"· ἕτοιμοι δέ εἰσιν, ὡς φαίνεται, καὶ ἕτερον κανόνα γραμματικὸν διδάξαι με ἐκ τοῦ Συντακτικοῦ τοῦ Κυρίου Ἀσωπίου, ὡς καὶ ἄλλοτε διὰ τῆς Κλειοῦς ἐδίδαξάν με ἐκ τοῦ αὐτοῦ Συντακτικοῦ, ὅτι ἡ σύνταξις βαίνει κατὰ τὴν σημασίαν τῶν συντασσομένων. Ποῖον δὲ τοῦτον ἑτοιμάζονται διδάξαι με τὸν κανόνα; Ὅτι "εἰς τὴν βραχυλο-
« γίαν ἀνάγεται καὶ τὸ συντακτικὸν σχῆμα τὸ κα-
« λούμενον Ζεῦγμα. Καλεῖται δὲ ζεῦγμα ἐκείνη
« τοῦ λόγου ἡ πλοκή, καθ' ἣν εἰς πλείονα κῶλα ἐννο-
« εῖται ἓν κοινὸν ῥῆμα, ἀλλ' ἐπὶ ἄλλης σημασίας, τὴν
« ὁποίαν ἢ αὐτὸ ἔχει, ἢ δυνατὸν ἐξαγαγεῖν δυνάμει τῆς
« τῶν ἐννοιῶν συγγενείας. Τοιοῦτο τὸ τοῦ Πινδάρου
« —ἕλεν δ' Οἰνομάου βίαν παρθένον τε
« σύνευνον—ἔνθα τὸ ἕλεν ἐπὶ μὲν τοῦ πρώτου
« κώλου σημαίνει τὸ ἐνίκησεν ἢ ἐφόνευσεν, ἐν δὲ τῷ
« δευτέρῳ τὸ ἔλαβε· τοιοῦτο δὲ καὶ τὸ Ὁμηρικὸν—ἡ

« μὲν (Θέτις) εἰς ἅλα ἆλτο βαθεῖαν, Ζεὺς
« δ' ἑὸν πρὸς δῶμα—ἔνθα παραληπτέον ἔβη ἢ
« ἄλλο τι τοιοῦτον ἀνάλογον".[40] Κατὰ δὴ τοῦτον τὸν
κανόνα ἑτοιμάζονται, ὡς φαίνεται, οἱ σοφοὶ ἄνδρες
διδάξαι με, ὅτι καὶ ἐν τῷ Συμβόλῳ τῆς πίστεως τὸ
ῥῆμα "πιστεύω" κατ' ἄλλην παραλαμβάνεται σημασίαν
πρὸ τοῦ Θ' ἄρθρου, ἢ τὴν ἐν τῷ Α' καὶ Β' καὶ Η'.
Ἐὰν ταῦτα λέγωσι, θαυμάσω μὲν αὐτῶν τὴν σοφίαν,
καὶ εὐχαριστήσω αὐτοῖς καὶ διὰ τὸ μάθημα τοῦτο, ὡς
ηὐχαρίστησα καὶ διὰ τὸ πρῶτον ἐκεῖνο, οὐ μὴν ἀποδέξομαι,
ὅτι οἱ τὸ Σύμβολον τῆς πίστεως συντάξαντες
Πατέρες Πινδαρικῷ καὶ Ὁμηρικῷ τῷ τρόπῳ συνέταξαν
αὐτό· ἀλλὰ διατελέσω συμπλανώμενος τῷ πεπλανημένῳ
Φωτίῳ καὶ λέγων, ὅτι "τὸ Πνεῦμα τὸ ἅγιον
ἐλάλησε διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν
καὶ Ἀποστολικὴν Ἐκκλησίαν"· καὶ εἰς τὴν πλάνην
ταύτην διανοοῦμαι ἐπιμεῖναι, κἂν αὐτὸς ὁ σεβαστὸς
γέρων καὶ πολύτιμος φίλος μου ἐν δευτέρᾳ τοῦ Συντακτικοῦ
ἐκδόσει καὶ τὸ ἐν τῷ Συμβόλῳ παράδειγμα
τοῦ ζεύγματος, ὃ ἀνεκάλυψαν οἱ σοφοὶ αὐτοῦ ἑρμηνευταί,
συγκαταριθμήσῃ τοῖς δυσὶν ἐκείνοις, ἃ ἔλαβεν ἐκ
τοῦ Πινδάρου καὶ τοῦ Ὁμήρου.

Ἀλλ' ἐπανέλθωμεν εἰς τὸ προκείμενον, ὅπως ἴδω-

---

[40] Κ. Ἀσώπιος ἐν τῷ "περὶ Ἑλληνικῆς συντάξεως." περίοδος δευτέρα, σελ. 850—ἐκδ. τοῦ 1848.

μεν καὶ τὰ ἐν ταῖς λοιπαῖς Συνόδοις πεπραγμένα καὶ δεδογμένα.

Ε΄ οἰκουμεν. Σύνοδος ἐν Κωνσταντινουπόλει, τὸ 533 συνελθοῦσα ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου.

Ἡ δὲ πέμπτη οἰκουμεν. Σύνοδος, ἡ ἐν Κωνσταντινουπόλει τὸ δεύτερον συνελθοῦσα, τὰ αὐτὰ ταῖς προτέραις ἐκράτυνε δόγματα περὶ πίστεως, μίαν μόνην πίστιν τὴν ἐν Νικαίᾳ συντεθεῖσαν ἀποδεχομένη καὶ κηρύττουσα· μετὰ δὲ τὸ πέρας τῆς Συνόδου, κατὰ τὸ εἰωθός, μακρὰν ὁ αὐτοκράτωρ Ἰουστινιανὸς ἐξέδωκε διάταξιν, τὴν πίστιν ταύτην καὶ αὐτὸς ὁμολογῶν, καὶ πάντας ὁμολογεῖν κελεύων, τὰς δὲ αἱρέσεις πάσας ἀναθεματίζων. Ἰδοὺ μικρὸν μέρος τῆς μακρᾶς ταύτης ἐπιστολῆς τοῦ αὐτοκράτορος, περιλαμβάνον τὴν ἀρχὴν καὶ τὸ τέλος αὐτῆς. "Ἐν ὀνόματι Θεοῦ καὶ Πατρός, « καὶ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ Ἰησοῦ Χριστοῦ τοῦ « Κυρίου ἡμῶν, καὶ τοῦ ἁγίου Πνεύματος, αὐτοκράτωρ « Καῖσαρ φιλόχριστος Ἰουστινιανός, Ἀλαμανικός, Γοτ- « θικός, Φαγκικός, Γερμανικός, Ἀντικός, Ἀλανικός, « Οὐανδαλικός, Ἀφρικανός, εὐσεβής, εὐτυχής, ἔν- « δοξος, νικητής, τροπαιοῦχος, ἀεισέβαστος, αὔγου- « στος, ἅπαντι τῷ πληρώματι τῆς καθολικῆς καὶ Ἀπο- « στολικῆς Ἐκκλησίας.—Εἰδότες ὡς οὐδὲν οὕτω θερα « πεύει τὸν φιλάνθρωπον Θεόν, ὡς τὸ ἓν καὶ τὸ αὐτὸ « φρονεῖν πάντας τοὺς Χριστιανοὺς περὶ τὴν ὀρθὴν « καὶ ἀμώμητον πίστιν, καὶ μὴ εἶναι σχίσματα ἐν τῇ « ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἀναγκαῖον ἡγησάμεθα « κ. τ. λ.—Ὁμολογοῦμεν τοίνυν πιστεύειν εἰς Πατέρα

« καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, μίαν
« θεότητα, ἤτοι φύσιν καὶ οὐσίαν καὶ δύναμιν καὶ ἐξου-
« σίαν, ἐν τρισὶν ὑποστάσεσιν, ἤτοι προσώποις, δοξάζον-
« τες, εἰς ἃ βεβαπτίσμεθα, εἰς ἃ πεπιστεύκαμεν, καὶ
« οἷς συντετάγμεθα, τὰς μὲν ἰδιότητας χωρίζοντες,
« ἑνοῦντες δὲ τὴν θεότητα. κ. τ. λ.—Τούτων οὕτως
« ὑπὸ τῆς τοῦ Θεοῦ καθολικῆς Ἐκκλησίας ὁμολογου-
« μένων, γινώσκειν βουλόμεθα πάντας τοὺς Χριστια-
« νούς, ὅτι, ὥσπερ ἕνα Θεὸν καὶ Κύριον ἔχομεν, οὕτω
« καὶ μίαν πίστιν· εἷς γάρ ἐστιν ὅρος πίστεως τὸ ὁμο-
« λογεῖν καὶ ὀρθῶς δοξάζειν Πατέρα, καὶ Χριστὸν τὸν
« Υἱὸν τοῦ Θεοῦ, καὶ ἅγιον Πνεῦμα. Ταύτην τὴν
« ὁμολογίαν φυλάττομεν, εἰς ἣν καὶ ἐβαπτίσθημεν,
« δωρηθεῖσαν μὲν παρὰ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆ-
« ρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς
« καὶ Ἀποστόλοις, παρ' αὐτῶν δὲ κηρυχθεῖσαν ἐν ὅλῳ
« τῷ Κόσμῳ. Οἱ δὲ τριακόσιοι δέκα καὶ ὀκτὼ Πατέρες
« ἅγιοι, οἱ συναχθέντες ἐν Νικαίᾳ κατὰ Ἀρείου, καὶ
« τοῦτον μετὰ τῆς αὐτοῦ ἀσεβείας καταδικάσαντες,
« τὴν αὐτὴν ὁμολογίαν ἢ Σύμβολον καὶ ἅγιον μάθημα
« τῆς πίστεως παραδεδώκασι τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλη-
« σίᾳ· καὶ μετ' ἐκείνους οἱ ἑκατὸν πεντήκοντα ἅγιοι
« Πατέρες, οἱ συναχθέντες ἐν Κωνσταντινουπόλει κατὰ
« Μακεδονίου τοῦ Πνευματομάχου καὶ Μάγνου τοῦ
« Ἀπολιναρίου, καὶ τούτους καταδικάσαντες μετὰ τῆς
« αὐτῶν ἀσεβείας, ἀκολουθοῦντές τε κατὰ πάντα τῷ

« αὐτῷ ἁγίῳ Συμβόλῳ τῷ παρὰ τῶν 318 ἁγίων Πατε-
« ρων παραδοθέντι, ἐτράνωσαν τὰ περὶ τῆς
« θεότητος τοῦ ἁγίου Πνεύματος. κ. τ. λ.,
« κ. τ. λ."

ΣΤ′ οἰκουμεν. Σύνοδος ἐν Κωνσταντινουπόλει, τὸ 680 συνελθοῦσα ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου.

Ἡ δὲ ἕκτη οἰκουμενικὴ Σύνοδος, ἡ ἐν Κωνσταντινουπόλει τὸ τρίτον συνελθοῦσα, καὶ αὕτη σαφῶς τὸ ἐν Νικαίᾳ Σύμβολον ἐπεκύρωσεν ἐν ᾧ ἐξέδωκεν ὅρῳ τῆς πίστεως, τάδε λέγουσα. "Καὶ τὸ παρὰ τῶν τριακο-
« σίων δέκα καὶ ὀκτὼ Πατέρων ἐκτεθέν, καὶ αὖθις παρὰ
« τῶν ἑκατὸν πεντήκοντα θεοφρόνως βεβαιωθέν, ὅπερ
« καὶ αἱ λοιπαὶ ἅγιαι Σύνοδοι ἐπ' ἀναιρέσει πάσης
« ψυχοφθόρου αἱρέσεως ἀσπασίως ἐδέξαντο καὶ ἐπεκύ-
« ρωσαν Σύμβολον, καὶ ἡ καθ' ἡμᾶς ἁγία καὶ οἰκου-
« μενικὴ θεοπνεύστως ἐπεσφράγισε Σύνοδος". Ἐν τέλει δὲ τοῦ ὅρου τούτου ἐπιλέγουσι τὰ αὐτὰ τοῖς ἐν τῇ Γ′ Συνόδῳ ὁρισθεῖσι. "Τούτων τοίνυν μετὰ πάσης
« πανταχόθεν ἀκριβείας καὶ ἐμμελείας παρ' ἡμῶν δια-
« τυπωθέντων, ὁρίζομεν ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι
« προφέρειν, ἤγουν συγγράφειν ἢ συντιθέναι, ἢ φρο-
« νεῖν ἢ διδάσκειν ἑτέρως, κ. τ. λ." ὡς ἐκεῖ.

Ἡ καλουμένη πενθέκτη Σύνοδος, τὸ 694 συνελθοῦσα ἐν Κωνσταντινουπόλει ἐπὶ Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου.

Τούτοις προσθετέον, ὅτι καὶ ἐν τῇ καλουμένῃ Πενθέκτῃ Συνόδῳ, ἣ συνῆλθεν ὁμοίως ἐν Κωνσταντινουπόλει, οὐχ ὡς ἰδία οἰκουμενικὴ Σύνοδος, ἀλλ' ὡς συνέχεια τῆς πέμπτης καὶ ἕκτης, ὅπως τοὺς κανόνας ἀμφοτέρων τούτων ἐκθῆται (ὅθεν καὶ Πενθέκτη ἐπωνομάσθη), καὶ ἐν ταύτῃ, λέγω, τῇ πενθέκτῃ Συνόδῳ ἡ

αὐτὴ διεκηρύχθη ἀλήθεια, καὶ ἡ ἐν Νικαίᾳ ἐκτεθεῖσα πίστις ἐκυρώθη εὐθὺς ἐν τῷ πρώτῳ κανόνι, τάδε ὁρίζοντι. "Τάξις ἀρίστη, παντὸς ἀρχομένου καὶ λόγου « καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι καὶ εἰς Θεὸν « ἀναπαύεσθαι, κατὰ τὴν θεολόγον φωνήν. Ὅθεν καὶ « τῆς εὐσεβείας ὑφ' ἡμῶν ἤδη διαπρυσίως κηρυττο« μένης, καὶ τῆς Ἐκκλησίας, ἐφ' ᾗ Χριστὸς τεθεμε« λίωται, διηνεκῶς αὐξανούσης καὶ προκοπτούσης,... « ἀρχὴν τῶν ἱερῶν ποιούμενοι λόγων χάριτι θείᾳ, « ὁρίζομεν, ἀκαινοτόμητόν τε καὶ ἀπαράτρωτον φυλάτ« τειν τὴν παραδοθεῖσαν ἡμῖν πίστιν ὑπό τε τῶν αὐτ« οπτῶν καὶ ὑπηρετῶν τοῦ λόγου, τῶν θεοκρίτων Ἀπο« στόλων· ἔτι δὲ καὶ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ « ἁγίων καὶ μακαρίων Πατέρων, τῶν ἐν Νικαίᾳ συνελ« θόντων ἐπὶ Κωνσταντίνου τοῦ γενομένου ἡμῶν βασι« λέως κατ' Ἀρείου τοῦ δυσσεβοῦς... ὡσαύτως δὲ καὶ « τὴν ἐπὶ τοῦ μεγάλου Θεοδοσίου, τοῦ γενομένου ἡμῶν « βασιλέως, ὑπὸ τῶν ἐν ταύτῃ τῇ βασιλίδι πόλει συν« αχθέντων ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων κηρυ« χθεῖσαν πίστιν κρατύνομεν, τὰς θεολόγους φωνὰς « ἀσπαζόμενοι, κ. τ. λ.—Εἰ δέ τις τῶν ἁπάντων μὴ « τὰ προειρημένα τῆς εὐσεβείας δόγματα κρατοῖ καὶ « ἀσπάζοιτο, καὶ οὕτω δοξάζοι τε καὶ κηρύττοι, ἀλλ' « ἐξ ἐναντίας ἰέναι τούτων ἐπιχειροῖ, ἔστω ἀνάθεμα, « κατὰ τὸν ἤδη ἐκτεθέντα ὅρον ὑπὸ τῶν προδηλωθέν« των ἁγίων καὶ μακαρίων Πατέρων, καὶ τοῦ Χριστια-

« νικοῦ καταλόγου, ὡς ἀλλότριος, ἐξωθείσθω καὶ « ἐκπιπτέτω. Ἡμεῖς γὰρ οὔτε προστιθέναι τι, οὔτε « μὴν ἀφαιρεῖν, κατὰ τὰ προορισθέντα, παντελῶς « διεγνώκαμεν, ἢ καθ' ὀντιναοῦν δεδυνήμεθα λόγον".

Ζ' οἰκουμεν. Σύνοδος, ἡ Β' ἐν Νικαίᾳ, τὸ 787 συνελθοῦσα ἐπὶ Κωνσταντίνου τοῦ Ζ' καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ.

Καὶ τέλος πάντων ἡ ἑβδόμη οἰκουμεν. Σύνοδος, ἡ ἐν Νικαίᾳ τὸ δεύτερον συνελθοῦσα, οὐδὲν διάφορον τῶν πρὸ αὐτῆς Συνόδων ἔπραξεν, ἀλλὰ καὶ αὕτη τὸ Σύμβολον τῆς πίστεως κυρώσασα, τὸ αὐτὸ ἀποδίδωσιν αὐτῷ ὄνομα, πίστιν λέγουσα τὴν ἐν Νικαίᾳ. Αὐτίκα δὴ ὁ τῆς Συνόδου ταύτης προεξάρχων, Ταράσιος ὁ θαυμαστὸς Πατριάρχης Κωνσταντινουπόλεως, ἐν τῷ Ἀπολογητικῷ αὐτοῦ Λόγῳ πρὸς τοὺς συνελθόντας Πατέρας λέγει τάδε. "Οὐδὲν οὕτως ἐστὶν ἐνώπιον τοῦ « Θεοῦ εὐαπόδεκτον καὶ εὐάρεστον, ὡς τὸ ἑνωθῆναι « ἡμᾶς, καὶ γενέσθαι μίαν καθολικὴν Ἐκκλησίαν, καθὰ « καὶ ἐν τῷ Συμβόλῳ τῆς εἰλικρινοῦς ἡμῶν πίστεως « ὁμολογοῦμεν." Παρατήρησον, ὅτι οὐ λέγει κατὰ τοὺς νεωτέρους θεολόγους, "εἰς ἣν καὶ πιστεύειν δεδιδάγμεθα," ἢ "εἰς ἣν βαπτιζόμεθα," ὡς ἄλλοι λέγουσιν, ἀλλὰ "γενέσθαι μίαν Ἐκκλησίαν, καθὰ καὶ ἐν τῷ Συμβόλῳ ὁμολογοῦμεν". Τοῦτο δὲ σαφέστατα διδάσκει, ὅτι ἐν τῷ Συμβόλῳ μίαν εἶναι τὴν Ἐκκλησίαν ὁμολογοῦμεν, οὐχὶ δὲ καὶ ὅτι πιστεύομεν εἰς τὴν μίαν ταύτην Ἐκκλησίαν, ἀσεβῶς πάνυ συγκαταλέγοντες αὐτὴν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι.— Πρὸς δὲ τοὺς ἄλλους Πατριάρχας γράφων κατὰ τὰ

εἰωθὸς τὴν ἐνθρονιστικὴν καλουμένην ἐπιστολὴν λέγει ὁ αὐτὸς Ταράσιος. "Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα « παντοκράτορα· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν « ...καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωο- « ποιόν...ἐπὶ τούτοις δὲ προσδοκῶ ἀνάστασιν νεκρῶν, « καὶ ἑκάστου τῶν πραχθέντων αἰωνίαν ἀντίδοσιν « ἀγαθῶν τε καὶ τῶν ἐναντίων. Ἐξαιτοῦμαι δὲ καὶ « τὰς πρεσβείας τῆς τε παναγίας ἀχράντου καὶ ἀει- « παρθένου Μαρίας, τῶν τε ἁγίων ἀγγέλων, κ. τ. λ." πίστεως δὲ εἰς τὴν Ἐκκλησίαν οὐδαμοῦ μνημονεύει τὸ παράπαν· τοὐναντίον δέ, ἐν τέλει τῆς ἐπιστολῆς αὐτοῦ εὔχεται ὁ θαυμάσιος Πατριάρχης ὑπὲρ τῆς Ἐκκλησίας, ὡς καὶ περὶ ἄλλων πραγμάτων, ἐπιλέγων τάδε. "Καὶ « ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν εἰς ἓν « συναγάγοι ἡμᾶς, καὶ τὰ διῃρημένα ἑνώσειε, καὶ τὸ « χρόνιον ἕλκος ἰάσαιτο, καὶ ἐν εὐρωστίᾳ πίστεως « ἀκραιφνοῦς καὶ ἀληθοῦς ὁμολογίας καὶ συμφωνίας « στηρίξειε πάντας, καὶ φρουρήσειε τὴν ἁγίαν « αὐτοῦ Ἐκκλησίαν, καὶ παύσειε τὰ κατ' αὐτῆς « ἐπικείμενα σκάνδαλα, πρεσβείαις τῆς ἀχράντου δε- « σποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων. « Ἀμήν". Αὐτὰ δὲ ταῦτα ὁμολογοῦντες καὶ οἱ τῇ Συνόδῳ ἐκείνῃ ἐκ μεταμελείας προσερχόμενοι αἱρετικοὶ συγχωρήσεως ἠξιοῦντο, καὶ τῇ ὀρθοδόξῳ ποίμνῃ συγκατελέγοντο. Ἅπασα δὲ ἡ Σύνοδος ὁμοφώνως τὸν τῆς πίστεως ὅρον ἐξεφώνησεν εὐθὺς ἐν ἀρχῇ οὑτωσί.

« . . . Καὶ πιστεύομεν εἰς ἕνα Θεόν, Πατέρα παντοκρά-
« τορα, πάντων ποιητὴν ὁρατῶν τε καὶ ἀοράτων. Καὶ
« εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν. . . . Καὶ εἰς τὸ
« Πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιόν. . . . Τριάδα
« ἄκτιστον, ἀμέριστον, ἀκατάληπτον, ἀπερίγραπτον,
« τὴν αὐτὴν ὅλην καὶ μόνην λατρευτήν
« τε καὶ προσκυνητὴν καὶ σεβάσμιον·
« μίαν θεότητα, μίαν κυριότητα, μίαν ἐξουσίαν, μίαν
« βασιλείαν καὶ δύναμιν. . . . Ταῦτα οὕτω φρονεῖν ἐδι-
« δάχθημεν καὶ ἐβεβαιώθημεν παρά τε τῶν ἁγίων
« Πατέρων ἡμῶν καὶ τῆς αὐτῶν θεοπαραδότου διδα-
« σκαλίας". Ἐν τέλει δὲ ὅρον ἴδιον ἐκθεῖσα ἡ Σύνοδος
λέγει ἐν αὐτῷ. " . . . Μετὰ πάσης τοίνυν ἀκριβείας
« ἐρευνήσαντές τε καὶ διασκεψάμενοι, καὶ τῷ σκοπῷ
« τῆς ἀληθείας ἀκολουθήσαντες, οὐδὲν ἀφαιροῦμεν,
« οὐδὲν προστίθεμεν, ἀλλὰ πάντα τὰ τῆς καθολικῆς
« Ἐκκλησίας ἀμείωτα διαφυλάττομεν· καὶ ἑπόμενοι
« ταῖς ἁγίαις οἰκουμενικαῖς ἓξ Συνόδοις, πρῶτα μὲν τῇ
« ἐν τῇ λαμπρᾷ Νικαέων μητροπόλει συναθροισθείσῃ,
« ἔτι γε μὴν καὶ τῇ μετ' αὐτὴν ἐν τῇ θεοφυλάκτῳ βασι-
« λίδι πόλει—πιστεύομεν εἰς ἕνα Θεόν, κ. τ. λ." κατὰ
τὸ Σύμβολον τῆς Α' ἐν Νικαίᾳ Συνόδου, οἷον κατηρ-
τίσθη ἐν τῇ Β' τῇ ἐν Κωνσταντινουπόλει· οὐδαμοῦ δὲ
λέγεται, οὐδ' ἁπλῶς ὑπαινίττεται λεγόμενον τὸ πι-
στεύειν εἰς τὴν Ἐκκλησίαν. Παντων δὲ συντελεσθέν-
των τῶν ἔργων τῆς μεγάλης ἐκείνης Συνόδου, ἐπι-

στάντες οἱ βασιλεῖς ἐν αὐτῇ ἐκέλευσαν ἀναγνωσθῆναι τὸν ὑπ' αὐτῆς συνταχθέντα ὅρον· μετὰ δὲ τὴν ἀνάγνωσιν εἶπον οἱ βασιλεῖς. " Λεγέτω ἡ ἁγία καὶ « οἰκουμενικὴ Σύνοδος, εἰ κατὰ συναίνεσιν πάντων « ὑμῶν ἐξεφωνήθη ὁ ἀναγνωσθεὶς ὅρος· οἱ δὲ ἐξεβό- « ησαν. Οὕτω πιστεύομεν· πάντες οὕτω φρονοῦμεν· « πάντες συναινέσαντες ὑπεγράψαμεν· αὕτη ἡ πίστις « τῶν Ἀποστόλων· αὕτη ἡ πίστις τῶν Πατέρων· αὕτη « ἡ πίστις τῶν ὀρθοδόξων· αὕτη ἡ πίστις τὴν οἰκου- « μένην ἐστήριξε, κ. τ. λ."

Συμπέρασμα ἐκ τῶν περὶ τῶν ἑπτὰ οἰκουμεν. Συνόδων εἰρημένων

Ἐκ τῆς ἀκριβοῦς ταύτης ἐκθέσεως τῶν ἐν ταῖς πέντε τελευταίαις οἰκουμενικαῖς Συνόδοις πεπραγμένων σαφέστατα καταδείκνυται, ὅτι οὐδέποτε οὐδεὶς ἐφαντάσθη, ὅτι τὸ ἐν τῇ Β′ οἰκουμεν. Συνόδῳ ἐπιβεβαιωθὲν Σύμβολον τῆς Α′ ἐν Νικαίᾳ. μετεβλήθη ἐν τοῖς περὶ πίστεως διὰ προσθήκης τοῦ πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν, ἀλλ' ἀείποτε ἀμφότερα τὰ Σύμβολα ὡς ἓν καὶ τὸ αὐτὸ ἐνομίσθησαν, οἷα καὶ πράγματί εἰσι, καὶ διὰ τοῦτο ἐν ταῖς ἐφεξῆς πέντε Συνόδοις ἓν ὀνομάζεται Σύμβολον, τὸ Σύμβολον τῆς Νικαίας, ὅπερ ἁπλούστατα καὶ καθαρώτατα διδάσκει τρία τινὰ ταῦτα· ά) π ι σ τ ε ύ ε ι ν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα·— β′) ὁ μ ο λ ο γ ε ῖ ν ἓν βάπτισμα·— καὶ γ′) π ρ ο σ δ ο κ ᾶ ν ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος· οὐδὲν τούτου πλέον, οὐδὲν τούτου ἔλαττον. Αὕτη λοιπόν ἐστιν ἡ πίστις, ἣν παρελάβομεν ἐκ 2222 Πατέρων, ὅσοι συν-

ἦλθον εἰς τὰς ἑπτὰ οἰκουμενικὰς Συνόδους· εἰς μὲν τὴν πρώτην 318· εἰς δὲ τὴν δευτέραν 150· εἰς δὲ τὴν τρίτην 200· εἰς δὲ τὴν τετάρτην 630· εἰς δὲ τὴν πέμπτην 160· εἰς δὲ τὴν ἕκτην 170 (πρόσθες καὶ τοὺς εἰς τὴν πενθέκτην 227)· καὶ τέλος εἰς τὴν ἑβδόμην 367. Ἐῶ λέγειν τοὺς συνελθόντας εἴς τε τὴν καλουμένην πρώτην καὶ δευτέραν, καὶ τὴν μετ' ἐκείνην ἐν τῷ ναῷ τῆς ἁγίας Σοφίας (καὶ ταύτην οὐχ ἧττον οἰκουμενικὴν οὖσαν), ἀμφοτέρας ἐπὶ Φωτίου συνελθούσας, ὡς καὶ τοὺς συνελθόντας εἰς τὰς καλουμένας τοπικὰς Συνόδους, ἐν αἷς ἁπάσαις τὸ Σύμβολον τῆς πίστεως καὶ ἀνεγινώσκετο καὶ ἐγινώσκετο καὶ ὠνομάζετο Σύμβολον τῆς Νικαίας. Λέγω δὲ μόνον, ὅτι ἐγὼ ταῦτα πάντα ἀναγνοὺς καὶ καλῶς μελετήσας, πληρέστατα κατενόησα καὶ ἐπείσθην, ὅτι τὸ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω" πάντῃ πάντως ἄτοπον καὶ παράλογόν ἐστι, καὶ ἐν τῇ πεποιθήσει ταύτῃ προὐτίμησα ὡς μόνην λογικήν, ὀρθὴν καὶ εὐσεβῆ τὴν τοῦ Φωτίου ἑρμηνείαν, τὴν λέγουσαν, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.

Περαίτεραι ἔρευναι.

Ἀλλ' ὅμως τὰς περὶ τοῦ πράγματος τούτου ἐρεύνας μου οὐ περιώρισα ἐν μόνοις τοῖς ἐν ταῖς Συνόδοις δεδογμένοις, εἰ καὶ αὕτη ἡ διδασκαλία ἐξαρκεῖ ἀποχρώντως παντὶ ὀρθοδόξῳ Χριστιανῷ· ἀλλὰ τὴν αὐτὴν ἀκο-

λουθήσας ὁδόν, οἵαν καὶ πρότερον, διεξῆλθον καὶ τοὺς μετὰ τὴν δευτέραν οἰκουμεν. Σύνοδον συγγράψαντας Πατέρας, ὅπως ἴδω, μή τι ἐν αὐτοῖς λέγεται διάφορον. Νομίζω δέ, ὅτι οὐκ ἔσται περιττὸν ἀνακοινῶσαί σοι ὅ,τι καὶ ἐκ τῆς ἐρεύνης ταύτης ἐδιδάχθην. Ἀλλ' ἐπειδὴ διὰ μακρῶν ἐξέθηκά σοι τὰ ἐκ τῶν ἀρχαιοτέρων Πατέρων καὶ ἐκ τῶν Συνόδων συναγόμενα ἐπίσημα μαρτύρια, καὶ νέφος διδασκάλων παρέστησά σοι διδάσκον ἡμᾶς μίαν μόνην καὶ τὴν αὐτὴν πίστιν, συντομώτερον, ὅσον οἷόν τε, ποιήσομαι τὸν περὶ τῶν ἄλλων λόγον, ἐκ μόνων τῶν ἀρίστων καὶ δοκιμωτάτων ἐκλεγόμενος τὰ μαρτυροῦντα περὶ τοῦ προκειμένου πράγματος· τοιοῦτοι δὲ πάντως εἰσὶ Γρηγόριος ὁ Νύσσης, Ἀμφιλόχιος ὁ Ἰκονίου, Ἰωάννης ὁ Χρυσόστομος, Κύριλλος ὁ Ἀλεξανδρείας, Θεοδώρητος ὁ Κύρου, Ἰωάννης ὁ Δαμασκηνός, Θεόδωρος ὁ Στουδίτης, δύο περιφανεῖς Πατριάρχαι Κωνσταντινουπόλεως, Ταράσιος ὁ πάνυ, καὶ ὁ διάδοχος αὐτοῦ Νικηφόρος ὁ Ὁμολογητής, ἐπὶ δὲ πᾶσιν ὁ μετ' ἀμφοτέρους τούτους πατριαρχεύσας μέγας Φώτιος, ὁ τοσούτους καὶ τηλικούτους ὑποστὰς ἀγῶνας ὑπὲρ τῆς τοῦ Συμβόλου ἀκεραιότητος, καὶ πρῶτος τὴν περιβόητον προσθήκην τοῦ Filioque ὀρθοδόξως πάνυ καταπολεμήσας, καὶ ἀλώβητον ἡμῖν διατηρήσας τὸν κανόνα τῆς πίστεως. Οὕτω καταντήσομεν εἰς τὸ σημεῖον ἐκεῖνο, ἐξ οὗ ἔλαβον τὴν ἀφορμὴν ἐρευνῆσαι περὶ τοῦ πράγματος τού-

του, καὶ ἐξ οὗ ὀπισθοχωρήσας ἐπανέβην εἰς τὴν τοῦ Συμβόλου πηγὴν (ἥτις ἐστὶν ἡ Α′ ἐν Νικαίᾳ Σύνοδος), κἀκεῖθεν ἐπανῆλθον εἰς τὴν πρώτην ἀφετηρίαν, οὐδὲν ἄλλο ἐν τῇ μακρᾷ ταύτῃ ἐρεύνῃ διδαχθείς, ἢ ὅτι τὸ ὑπονοεῖν πρὸ τοῦ Θ′ ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω" οὐδαμοῦ παραδέδοται ἡμῖν οὔτε ὑπὸ τοῦ οἰκοδομήσαντος τὴν Ἐκκλησίαν, ἧς αὐτός ἐστιν ὁ θεμέλιος, οὔτε ὑπὸ τῶν μαθητῶν αὐτοῦ καὶ Ἀποστόλων, οὔτε ὑπὸ τῶν τοὺς Ἀποστόλους διαδεξαμένων καὶ λόγῳ τε καὶ γραφῇ τὴν ἐκείνων διδασκαλίαν ἐν παντὶ τῷ Κόσμῳ διαδόντων καὶ κρατυνάντων, τῶν θεοφόρων, λέγω, Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας. Προΐωμεν τοίνυν εἰς τὴν περαιτέρω ἔρευναν, τοὺς προειρημένους Πατέρας ἀναγινώσκοντες, καὶ διὰ τοῦ φωτὸς αὐτῶν εἰς τὴν τῆς ἀληθείας ἀνεύρεσιν ποδηγετούμενοι.

Γρηγόριος ὁ Νύσσης.

Ἔλεγον ἐν τοῖς ἔμπροσθεν, ὅτι Γρηγόριος ὁ Νύσσης ἦν κατὰ δύο ἔτη νεώτερος ἀδελφὸς τοῦ μεγάλου Βασιλείου· ἐπέζησε δὲ μετὰ τὸν θάνατον ἐκείνου εἴκοσι περίπου ἔτη, καὶ παρῆν ἐν τῇ δευτέρᾳ οἰκουμενικῇ Συνόδῳ, ὑφ᾽ ἧς καὶ διετάχθη, ὡς πάντων τῶν ἄλλων λογιώτερος,[41] ἵνα συντάξῃ τὴν τοῦ Συμβόλου συμπλή-

---

[41] Ὁ μὲν Σουΐδας (ἐν λ. Γρηγόριος) ἀποκαλεῖ αὐτὸν ἐλλογιμώτατον καὶ πάσης παιδείας ἀνάπλεων"· ὑπὸ δὲ τοῦ κριτικωτάτου Φωτίου ἐν Μυριοβίβλῳ (ἀνάγν. 6, 7 καὶ 231) ἀποκαλεῖται "λαμπρὸς τὴν φράσιν καὶ ἡδονῆς ὠσὶν ἀποστάζων", καὶ "ὁ ποταμὸς τῶν λόγων ὁ Νύσσης Γρηγόριος".

« καὶ εἰς ἁγίαν καθολικὴν Ἐκκλησίαν· εἰς ἀνάστασιν « νεκρῶν· εἰς ζωὴν αἰώνιον”.[38] Τοῦτο λοιπὸν τὸ Σύμβολον τοῦ Νεστορίου (ὃ ἀρέσκει, ὡς φαίνεται, τοῖς διδάσκουσιν ἐννοεῖν πρὸ τοῦ Θ´ ἄρθρου τοῦ ἡμετέρου Συμβόλου τὸ ῥῆμα “πιστεύω”, καὶ ἀληθῶς χρησιμεύει αὐτοῖς εἰς ἀπόδειξιν τῆς ἑαυτῶν διδασκαλίας) ὁμοφώνως ἡ Σύνοδος ἀπεδοκίμασε καὶ ἀπέβαλε, θεσπίσασα μίαν μόνην πίστιν τὴν ἐν Νικαίᾳ κρατεῖν· καὶ ταύτην εὐθὺς ἀρχομένη ἀνέγνω, ὡς ἐγράφη ἐν Νικαίᾳ·[39] καὶ πάντες οἱ παρόντες 200 Πατέρες, ἀλλεπάλληλοι ἀνιστάμενοι, ὡμολόγουν τὴν πίστιν ταύτην. Μετὰ δὲ τὸ πέρας τῶν ἐργασιῶν αὐτῆς ἔγραψεν ἡ Σύνοδος πρὸς τὸν αὐτοκράτορα τάδε. “ . . . Ἐπειδὴ οὖν οὐκ ἔδει τὴν « τοσαύτην ἁγίαν Σύνοδον συνελθοῦσαν ἄπρακτον μέ« νειν, ἐκείνου (τοῦ Νεστορίου) κακῷ συνειδότι μὴ « ἀπαντήσαντος, τὰ περὶ τῆς πίστεως καὶ τῆς εὐσε« βείας ἀναγκαίως ἐκινοῦμεν δόγματα, προλάμπειν τῶν « πραττομένων ὑπομνημάτων ὑποτυπώσαντες τὸ θεο« φιλὲς γράμμα τῆς ὑμετέρας πρεσβείας· μεθ’ ὃ τὴν

---

[38] Ἰδοὺ καὶ ἕτερον Σύμβολον, τὸ τοῦ αἱρεσιάρχου Νεστορίου, μαρτυροῦν ὑπὲρ τῶν λεγόντων, ὅτι ἐννοητέον ἐστὶ πρὸ τοῦ Θ´ ἄρθρον τοῦ ἡμετέρου Συμβόλου τὸ ῥῆμα “πιστεύω”. Ἔχουσι λοιπὸν μέχρι τοῦδε δύο ὑπὲρ αὐτῶν μαρτυροῦντα Σύμβολα, τὸ τοῦ Ἀρείου καὶ τὸ τοῦ Νεστορίου· οἷος θησαυρὸς μαρτυριῶν !

[39] Ἠγνόει ἆρά γε ἡ ἐν Ἐφέσῳ Σύνοδος τὴν πρὸ 50 ἐτῶν ἐν Κωνσταντινουπόλει γραφεῖσαν πίστιν, καὶ διὰ τοῦτο ἀνέγνω τὴν ἐν Νικαίᾳ, ἢ ἀμφοτέρας μίαν καὶ τὴν αὐτὴν νομίζουσα ἀνέγνω τὴν πρώτην ;

« ἔκθεσιν τῆς εὐσεβοῦς πίστεως προθέντες, τῆς πρότε-
« ρον μὲν παρὰ τῶν ἁγιωτάτων Ἀποστόλων παρα-
« δεδομένης ἡμῖν, μετὰ δὲ ταῦτα ἐκτεθείσης παρὰ τῶν
« τριακοσίων δεκαοκτὼ ἁγίων Πατέρων, ἐν τῇ Νικαέων
« μητροπόλει συνηγμένων παρὰ τοῦ ἐν ἁγίοις Κων-
« σταντίνου· οὗ τὴν ὀρθὴν πίστιν λαμπροτέραν ἐπέ-
« δειξε τὸ ὑμέτερον κράτος· καὶ τῇ ἐκθέσει ταύτῃ πρό-
« τερον μὲν τὰς περὶ τῆς πίστεως ἐπιστολὰς τοῦ
« θεοφιλεστάτου καὶ ἁγιωτάτου Ἀρχιεπισκόπου Κυρίλ-
« λου συγκρίναντες, συμφώνους εὕρομεν τοῖς τε δογ-
« μασι καὶ νοήμασι, καὶ κατ' οὐδὲν ἀπηλλοτριωμένην
« τὴν αὐτοῦ διδασκαλίαν τῆς εὐσεβοῦς ἐκείνης ἐκθέ-
« σεως".—Καὶ ταῦτα μὲν τὰ ἐν τῇ Συνόδῳ πεπραγ-
μένα. Τὰς δὲ πρὸ τῆς Συνόδου γραφείσας ἐπιστολὰς
πρός τε τὸν Νεστόριον αὐτὸν καὶ πρὸς ἄλλους ὑπὸ τοῦ
Κυρίλλου καὶ τοῦ Κελεστίνου Πάπα Ῥώμης, ὀρθο-
δόξως πάνυ συνεργασαμένων πρὸς καταστροφὴν τῆς
αἱρέσεως, ἐὰν ἐπιχειρήσω παραθέσθαι σοι, μακρότατος
ἔσται ἡμῖν ὁ λόγος. Διὰ τοῦτο τἄλλα παραλείπων, ἓν
μόνον μέρος παραθήσομαί σοι τῆς τελευταίας τοῦ
Κυρίλλου ἐπιστολῆς πρὸς τὸν Νεστόριον, ὅπως ἴδῃς,
ὅτι ἀείποτε τὸ ἐν Νικαίᾳ Σύμβολον καὶ ὠνομάζετο
καὶ ἐνομίζετο μόνος κανὼν πίστεως· τὸ δὲ ἐν Κων-
σταντινουπόλει ἐθεωρεῖτο δυνάμει ἐν ἐκείνῳ περιεχό-
μενον, καὶ ἀμφότερα ἓν καὶ τὸ αὐτό. Γράφει λοιπὸν
ὁ Κύριλλος πρὸς τὸν Νεστόριον ἐν τῇ τελευταίᾳ αὐτοῦ

ἐπιστολῇ τάδε. "Οὐκ ἀρκέσει δὲ τῇ σῇ εὐλαβείᾳ τὸ
« συνομολογῆσαι μόνον τὸ τῆς πίστεως Σύμβολον, τὸ
« ἐκτεθὲν κατὰ καιροὺς ἐν ἁγίῳ Πνεύματι παρὰ τῆς
« ἁγίας καὶ μεγάλης Συνόδου τῆς κατὰ καιροὺς συν-
« αχθείσης ἐν τῇ Νικαέων· νενόηκας γὰρ καὶ ἡρμήνευ-
« σας οὐκ ὀρθῶς αὐτό, διεστραμμένως δὲ μᾶλλον, κἂν
« ὁμολογῇς τῇ φωνῇ τὴν λέξιν· ἀλλὰ γὰρ ἀκόλουθον
« ἐγγράφως καὶ ἐνωμότως ὁμολογῆσαι, ὅτι καὶ ἀνα-
« θεματίζεις μὲν τὰ μιαρὰ σαυτοῦ καὶ βέβηλα δόγ-
« ματα, φρονήσεις δὲ καὶ διδάξεις, ἃ καὶ ἡμεῖς πάντες,
« οἵ τε κατὰ τὴν ἑσπέραν καὶ τὴν ἑῴαν Ἐπίσκοποι καὶ
« διδάσκαλοι καὶ λαῶν ἡγούμενοι... Αὕτη γὰρ τῆς
« καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας ἡ πίστις, ᾗ
« συναινοῦσιν ἅπαντες, οἵ τε κατὰ τὴν ἑσπέραν καὶ τὴν
« ἑῴαν ὀρθόδοξοι Ἐπίσκοποι". Καὶ εὐθὺς μετὰ ταῦτα
ἐκτίθησι τὸ Σύμβολον τῆς πίστεως, οἷον ἐγράφη ἐν
Νικαίᾳ, οὐχὶ τὸ ἐν Κωνσταντινουπόλει συμπληρωθέν.
Ἀλλ' ἱκανὰ ταῦτα περὶ τῆς ἐν Ἐφέσῳ Γ' οἰκουμεν.
Συνόδου.

Δ' οἰκουμεν. Σύνοδος ἐν Χαλκηδόνι, τὸ 451 συνελθοῦσα ἐπὶ τοῦ αὐτοκράτορος Μαρκιανοῦ.

Ἡ δὲ τετάρτη οἰκουμενικὴ Σύνοδος, ἡ ἐν Χαλκηδόνι
συνελθοῦσα, ὥρισε τὰ ἑξῆς ἐν ᾗ ἔγραψε περὶ πίστεως
διατάξει. "... ὃ δὴ καὶ πεποιήκαμεν, κοινῇ ψήφῳ τὰ
« τῆς πλάνης ἀπελάσαντες δόγματα, τὴν δὲ ἀπλανῆ
« τῶν Πατέρων ἀνανεωσάμενοι πίστιν, τὸ τῶν τριακο-
« σίων δεκαοκτὼ Σύμβολον τοῖς πᾶσι κηρύξαντες, καὶ
« ὡς οἰκείους τοὺς τοῦτο τὸ σύνθεμα τῆς εὐσεβείας δε-

« ξαμένους Πατέρας ἐπιγραψάμενοι, οἵπερ εἰσὶν οἱ μετὰ
« ταῦτα ἐν τῇ μεγάλῃ Κωνσταντινουπόλει συνελθόντες
« ἑκατὸν πεντήκοντα, καὶ αὐτοὶ τὴν αὐτὴν ἐπι-
« σφραγισάμενοι πίστιν. Ὁρίζομεν τοίνυν...
« προλάμπειν μὲν τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως τὴν
« ἔκθεσιν τῶν τριακοσίων δεκαοκτὼ ἁγίων καὶ μακα-
« ρίων Πατέρων τῶν ἐν Νικαίᾳ ἐπὶ τοῦ εὐσεβοῦς μνή-
« μης Κωνσταντίνου τοῦ γενομένου βασιλέως συν-
« αχθέντων· κρατεῖν δὲ καὶ τὰ παρὰ τῶν ἑκατὸν πεντή
« κοντα ἁγίων Πατέρων ἐν Κωνσταντινουπόλει ὁρι
« σθέντα, πρὸς ἀναίρεσιν μὲν τῶν τότε φυεισῶν αἱρέ
« σεων, βεβαίωσιν δὲ τῆς αὐτῆς καθολικῆς καὶ Ἀπο-
« στολικῆς ἡμῶν πίστεως... Διὰ τοῦτο πᾶσαν αὐτοῖς
« (τοῖς αἱρετικοῖς) ἀποκλεῖσαι κατὰ τῆς ἀληθείας μη-
« χανὴν βουλομένη ἡ παροῦσα νῦν αὕτη ἁγία μεγάλη
« καὶ οἰκουμενικὴ Σύνοδος, τὸ τοῦ κηρύγματος ἄνωθεν
« ἀσάλευτον ἐκδιδάσκουσα, ὥρισε προηγουμένως τῶν
« τριακοσίων δεκαοκτὼ ἁγίων Πατέρων τὴν πίστιν
« μένειν ἀπαρεγχείρητον". Ἐν τέλει δὲ τῆς διατά-
ξεως ταύτης τὸ αὐτὸ καὶ ἡ Σύνοδος αὕτη ἐπανέλαβεν
ἀνάθεμα κατὰ τῶν τολμώντων ἑτέραν πίστιν διδάσκειν,
ὃ καὶ ἡ ἐν Ἐφέσῳ ἐξεφώνησε. Καὶ ταῦτα μὲν τὰ ἐν
γένει δεδογμένα τῇ Δ′ οἰκουμενικῇ Συνόδῳ. Ἐν δὲ τῇ
δευτέρᾳ Πράξει αὐτῆς πρῶτον μὲν ἀνεγνώσθη ἡ ἐν
Νικαίᾳ πίστις, καὶ μετὰ τὴν ἀνάγνωσιν "οἱ εὐλαβέ-
« στατοι Ἐπίσκοποι ἐβόησαν· Αὕτη ἡ πίστις τῶν ὀρθο-

« δόξων· ταύτη πάντες πιστεύομεν· ἐν ταύτῃ ἐβαπτί-
« σθημεν· ἐν ταύτῃ βαπτίζομεν· ὁ μακάριος Κύριλλος
« οὕτως ἐδίδαξεν· αὕτη ἡ ἀληθινὴ πίστις· αὕτη ἡ ἁγία
« πίστις· αὕτη αἰωνία πίστις· εἰς ταύτην ἐβαπτίσθημεν·
« εἰς ταύτην βαπτίζομεν· πάντες οὕτω πιστεύομεν,
« κ.τ.λ". Ἔπειτα δὲ διετάχθη καὶ "ἡ ἀνάγνωσις τῆς ἁγίας πίστεως, ἣν ἐξέθεντο οἱ ἅγιοι Πατέρες ρν', συμφωνοῦσα τῇ ἁγίᾳ καὶ μεγάλῃ Συνόδῳ τῇ ἐν Νικαίᾳ". Ἀναγνωσθείσης δὲ καὶ ταύτης, πάλιν τὰ αὐτὰ πάντες οἱ εὐλαβέστατοι Ἐπίσκοποι ἀνεβόησαν. " Αὕτη πάν-
« των πίστις· αὕτη πίστις τῶν ὀρθοδόξων· οὕτω πάντες
« πιστεύομεν· κ. τ. λ."

Ἐνταῦθα μικρὸν διακόπτων τὴν τῶν ἀποδείξεων ἔκθεσιν ἐρωτήσω τοὺς διδάσκοντας, ὅτι ἡ Β' οἰκουμενικὴ Σύνοδος παρέδωκεν ἡμῖν τὸ πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν· πότερον, οἱ οὕτω δὶς ἀναβοήσαντες 630 Πατέρες, ὅσοι παρῆσαν ἐν τῇ Δ' οἰκουμεν. Συνόδῳ, δύο πίστεις ἀνεβόων ἔχειν, ἢ μίαν καὶ τὴν αὐτὴν κατ' ἀμφοτέρας τὰς ἀναβοήσεις αὐτῶν ὡμολόγουν; Εἰ δὲ μίαν καὶ τὴν αὐτὴν ὡμολόγουν πίστιν τήν τε ἐν Νικαίᾳ καὶ τὴν ἐν Κωνσταντινουπόλει, ποῦ τῆς ἐν Νικαίᾳ πίστεως διδάσκεται τὸ πιστεύειν εἰς τὴν Ἐκκλησίαν; Εἰ δὲ πάλιν ἡ ἐν Κωνσταντινουπόλει πίστις προσέθηκεν εἰς τὴν πρώτην τὸ πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν, πῶς ἀμφότεραι, τοσαύτην ἔχουσαι διαφοράν, ὡς μία καὶ ἡ αὐτὴ κηρύττονται ὑπὸ 630 Πατέρων; πάντως

γὰρ ἡ ταυτότης ἀναιρεῖται, ὅταν ἀποδεχθῶμεν, ὅτι ἡ δευτέρα προσέθηκεν εἰς τὴν πρώτην καὶ τέταρτον πίστεως ὑποκείμενον. Ἀλλὰ λέγουσί μοι οἱ σοφοὶ οὗτοι δίπιστοι, ὅτι πλανῶμαι μετὰ τοῦ Φωτίου (ὢ τῆς εὐσεβοῦς πλάνης!), οὐκ ἐννοῶν, ὅτι τὸ πρὸ τοῦ Θ′ ἄρθρου τοῦ Συμβόλου παραλαμβανόμενον ὑπ' αὐτῶν "πιστεύω" οὐ ταὐτὸν δύναται τῷ ἐν τῷ Α′ καὶ Β′ καὶ Η′, ἀλλ' ὑπ' ἄλλην τινὰ σημασίαν λαμβάνεται, ἵνα σημαίνῃ τὸ "ἀποδέχομαι, σέβομαι, τιμῶ, καὶ τὰ τοιαῦτα"· ἕτοιμοι δέ εἰσιν, ὡς φαίνεται, καὶ ἕτερον κανόνα γραμματικὸν διδάξαι με ἐκ τοῦ Συντακτικοῦ τοῦ Κυρίου Ἀσωπίου, ὡς καὶ ἄλλοτε διὰ τῆς Κλειοῦς ἐδίδαξάν με ἐκ τοῦ αὐτοῦ Συντακτικοῦ, ὅτι ἡ σύνταξις βαίνει κατὰ τὴν σημασίαν τῶν συντασσομένων. Ποῖον δὲ τοῦτον ἑτοιμάζονται διδάξαι με τὸν κανόνα; Ὅτι "εἰς τὴν βραχυλο-
« γίαν ἀνάγεται καὶ τὸ συντακτικὸν σχῆμα τὸ κα-
« λούμενον Ζεῦγμα. Καλεῖται δὲ ζεῦγμα ἐκείνη
« τοῦ λόγου ἡ πλοκή, καθ' ἣν εἰς πλείονα κῶλα ἐννο-
« εῖται ἓν κοινὸν ῥῆμα, ἀλλ' ἐπὶ ἄλλης σημασίας, τὴν
« ὁποίαν ἢ αὐτὸ ἔχει, ἢ δυνατὸν ἐξαγαγεῖν δυνάμει τῆς
« τῶν ἐννοιῶν συγγενείας. Τοιοῦτο τὸ τοῦ Πινδάρου
« —ἕλεν δ' Οἰνομάου βίαν παρθένον τε
« σύνευνον—ἔνθα τὸ ἕλεν ἐπὶ μὲν τοῦ πρώτου
« κώλου σημαίνει τὸ ἐνίκησεν ἢ ἐφόνευσεν, ἐν δὲ τῷ
« δευτέρῳ τὸ ἔλαβε· τοιοῦτο δὲ καὶ τὸ Ὁμηρικόν—ἢ

« μὲν (Θέτις) εἰς ἅλα ἆλτο βαθεῖαν, Ζεὺς
« δ' ἑὸν πρὸς δῶμα—ἔνθα παραληπτέον ἔβη ἢ
« ἄλλο τι τοιοῦτον ἀνάλογον".[40] Κατὰ δὴ τοῦτον τὸν
κανόνα ἑτοιμάζονται, ὡς φαίνεται, οἱ σοφοὶ ἄνδρες
διδάξαι με, ὅτι καὶ ἐν τῷ Συμβόλῳ τῆς πίστεως τὸ
ῥῆμα "πιστεύω" κατ' ἄλλην παραλαμβάνεται σημασίαν
πρὸ τοῦ Θ' ἄρθρου, ἢ τὴν ἐν τῷ Α' καὶ Β' καὶ Η'.
Ἐὰν ταῦτα λέγωσι, θαυμάσω μὲν αὐτῶν τὴν σοφίαν,
καὶ εὐχαριστήσω αὐτοῖς καὶ διὰ τὸ μάθημα τοῦτο, ὡς
ηὐχαρίστησα καὶ διὰ τὸ πρῶτον ἐκεῖνο, οὐ μὴν ἀποδέξομαι,
ὅτι οἱ τὸ Σύμβολον τῆς πίστεως συντάξαντες
Πατέρες Πινδαρικῷ καὶ Ὁμηρικῷ τῷ τρόπῳ συνέταξαν
αὐτό· ἀλλὰ διατελέσω συμπλανώμενος τῷ πεπλανημένῳ
Φωτίῳ καὶ λέγων, ὅτι "τὸ Πνεῦμα τὸ ἅγιον
ἐλάλησε διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν
καὶ Ἀποστολικὴν Ἐκκλησίαν"· καὶ εἰς τὴν πλάνην
ταύτην διανοοῦμαι ἐπιμεῖναι, κἂν αὐτὸς ὁ σεβαστὸς
γέρων καὶ πολύτιμος φίλος μου ἐν δευτέρᾳ τοῦ Συντακτικοῦ
ἐκδόσει καὶ τὸ ἐν τῷ Συμβόλῳ παράδειγμα
τοῦ ζεύγματος, ὃ ἀνεκάλυψαν οἱ σοφοὶ αὐτοῦ ἑρμηνευταί,
συγκαταριθμήσῃ τοῖς δυσὶν ἐκείνοις, ἃ ἔλαβεν ἐκ
τοῦ Πινδάρου καὶ τοῦ Ὁμήρου.

Ἀλλ' ἐπανέλθωμεν εἰς τὸ προκείμενον, ὅπως ἴδω-

---

[40] Κ. Ἀσώπιος ἐν τῷ "περὶ Ἑλληνικῆς συντάξεως." περίοδος δευτέρα, σελ. 850—ἔκδ. τοῦ 1848.

μεν καὶ τὰ ἐν ταῖς λοιπαῖς Συνόδοις πεπραγμένα καὶ δεδογμένα.

Ε′ οἰκουμεν. Σύνοδος ἐν Κωνσταντινουπόλει, τὸ 533 συνελθοῦσα ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου.

Ἡ δὲ πέμπτη οἰκουμεν. Σύνοδος, ἡ ἐν Κωνσταντινουπόλει τὸ δεύτερον συνελθοῦσα, τὰ αὐτὰ ταῖς προτέραις ἐκράτυνε δόγματα περὶ πίστεως, μίαν μόνην πίστιν τὴν ἐν Νικαίᾳ συντεθεῖσαν ἀποδεχομένη καὶ κηρύττουσα· μετὰ δὲ τὸ πέρας τῆς Συνόδου, κατὰ τὸ εἰωθός, μακρὰν ὁ αὐτοκράτωρ Ἰουστινιανὸς ἐξέδωκε διάταξιν, τὴν πίστιν ταύτην καὶ αὐτὸς ὁμολογῶν, καὶ πάντας ὁμολογεῖν κελεύων, τὰς δὲ αἱρέσεις πάσας ἀναθεματίζων. Ἰδοὺ μικρὸν μέρος τῆς μακρᾶς ταύτης ἐπιστολῆς τοῦ αὐτοκράτορος, περιλαμβάνον τὴν ἀρχὴν καὶ τὸ τέλος αὐτῆς. "Ἐν ὀνόματι Θεοῦ καὶ Πατρός, « καὶ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ Ἰησοῦ Χριστοῦ τοῦ « Κυρίου ἡμῶν, καὶ τοῦ ἁγίου Πνεύματος, αὐτοκράτωρ « Καῖσαρ φιλόχριστος Ἰουστινιανός, Ἀλαμανικός, Γοτ- « θικός, Φαγκικός, Γερμανικός, Ἀντικός, Ἀλανικός, « Οὐανδαλικός, Ἀφρικανός, εὐσεβής, εὐτυχής, ἔν- « δοξος, νικητής, τροπαιοῦχος, ἀεισέβαστος, αὔγου- « στος, ἅπαντι τῷ πληρώματι τῆς καθολικῆς καὶ Ἀπο- « στολικῆς Ἐκκλησίας.—Εἰδότες ὡς οὐδὲν οὕτω θερα « πεύει τὸν φιλάνθρωπον Θεόν, ὡς τὸ ἓν καὶ τὸ αὐτὸ « φρονεῖν πάντας τοὺς Χριστιανοὺς περὶ τὴν ὀρθὴν « καὶ ἀμώμητον πίστιν, καὶ μὴ εἶναι σχίσματα ἐν τῇ « ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἀναγκαῖον ἡγησάμεθα « κ. τ. λ.—Ὁμολογοῦμεν τοίνυν πιστεύειν εἰς Πατέρα

« καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον, μίαν
« θεότητα, ἤτοι φύσιν καὶ οὐσίαν καὶ δύναμιν καὶ ἐξου-
« σίαν, ἐν τρισὶν ὑποστάσεσιν, ἤτοι προσώποις, δοξάζον-
« τες, εἰς ἃ βεβαπτίσμεθα, εἰς ἃ πεπιστεύκαμεν, καὶ
« οἷς συντετάγμεθα, τὰς μὲν ἰδιότητας χωρίζοντες,
« ἑνοῦντες δὲ τὴν θεότητα. κ. τ. λ.—Τούτων οὕτως
« ὑπὸ τῆς τοῦ Θεοῦ καθολικῆς Ἐκκλησίας ὁμολογου-
« μένων, γινώσκειν βουλόμεθα πάντας τοὺς Χριστια-
« νούς, ὅτι, ὥσπερ ἕνα Θεὸν καὶ Κύριον ἔχομεν, οὕτω
« καὶ μίαν πίστιν· εἷς γάρ ἐστιν ὅρος πίστεως τὸ ὁμο-
« λογεῖν καὶ ὀρθῶς δοξάζειν Πατέρα, καὶ Χριστὸν τὸν
« Υἱὸν τοῦ Θεοῦ, καὶ ἅγιον Πνεῦμα. Ταύτην τὴν
« ὁμολογίαν φυλάττομεν, εἰς ἣν καὶ ἐβαπτίσθημεν,
« δωρηθεῖσαν μὲν παρὰ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆ-
« ρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς
« καὶ Ἀποστόλοις, παρ' αὐτῶν δὲ κηρυχθεῖσαν ἐν ὅλῳ
« τῷ Κόσμῳ. Οἱ δὲ τριακόσιοι δέκα καὶ ὀκτὼ Πατέρες
« ἅγιοι, οἱ συναχθέντες ἐν Νικαίᾳ κατὰ Ἀρείου, καὶ
« τοῦτον μετὰ τῆς αὐτοῦ ἀσεβείας καταδικάσαντες,
« τὴν αὐτὴν ὁμολογίαν ἢ Σύμβολον καὶ ἅγιον μάθημα
« τῆς πίστεως παραδεδώκασι τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλη-
« σίᾳ· καὶ μετ' ἐκείνους οἱ ἑκατὸν πεντήκοντα ἅγιοι
« Πατέρες, οἱ συναχθέντες ἐν Κωνσταντινουπόλει κατὰ
« Μακεδονίου τοῦ Πνευματομάχου καὶ Μάγνου τοῦ
« Ἀπολιναρίου, καὶ τούτους καταδικάσαντες μετὰ τῆς
« αὐτῶν ἀσεβείας, ἀκολουθοῦντές τε κατὰ πάντα τῷ

« αὐτῷ ἁγίῳ Συμβόλῳ τῷ παρὰ τῶν 318 ἁγίων Πατε-
« ρων παραδοθέντι, ἐτράνωσαν τὰ περὶ τῆς
« θεότητος τοῦ ἁγίου Πνεύματος. κ. τ. λ.,
« κ. τ. λ."

ΣΤ′ οἰκουμεν. Σύνοδος ἐν Κωνσταντινουπόλει, τὸ 680 συνελθοῦσα ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου.

Ἡ δὲ ἕκτη οἰκουμενικὴ Σύνοδος, ἡ ἐν Κωνσταντινουπόλει τὸ τρίτον συνελθοῦσα, καὶ αὕτη σαφῶς τὸ ἐν Νικαίᾳ Σύμβολον ἐπεκύρωσεν ἐν ᾧ ἐξέδωκεν ὅρῳ τῆς πίστεως, τάδε λέγουσα. "Καὶ τὸ παρὰ τῶν τριακο-
« σίων δέκα καὶ ὀκτὼ Πατέρων ἐκτεθέν, καὶ αὖθις παρὰ
« τῶν ἑκατὸν πεντήκοντα θεοφρόνως βεβαιωθέν, ὅπερ
« καὶ αἱ λοιπαὶ ἅγιαι Σύνοδοι ἐπ' ἀναιρέσει πάσης
« ψυχοφθόρου αἱρέσεως ἀσπασίως ἐδέξαντο καὶ ἐπεκύ-
« ρωσαν Σύμβολον, καὶ ἡ καθ' ἡμᾶς ἁγία καὶ οἰκου-
« μενικὴ θεοπνεύστως ἐπεσφράγισε Σύνοδος". Ἐν τέλει δὲ τοῦ ὅρου τούτου ἐπιλέγουσι τὰ αὐτὰ τοῖς ἐν τῇ Γ′ Συνόδῳ ὁρισθεῖσι. "Τούτων τοίνυν μετὰ πάσης
« πανταχόθεν ἀκριβείας καὶ ἐμμελείας παρ' ἡμῶν δια-
« τυπωθέντων, ὁρίζομεν ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι
« προφέρειν, ἤγουν συγγράφειν ἢ συντιθέναι, ἢ φρο-
« νεῖν ἢ διδάσκειν ἑτέρως, κ. τ. λ." ὡς ἐκεῖ.

Ἡ καλουμένη πενθέκτη Σύνοδος, τὸ 694 συνελθοῦσα ἐν Κωνσταντινουπόλει ἐπὶ Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου.

Τούτοις προσθετέον, ὅτι καὶ ἐν τῇ καλουμένῃ Πενθέκτῃ Συνόδῳ, ἣ συνῆλθεν ὁμοίως ἐν Κωνσταντινουπόλει, οὐχ ὡς ἰδία οἰκουμενικὴ Σύνοδος, ἀλλ' ὡς συνέχεια τῆς πέμπτης καὶ ἕκτης, ὅπως τοὺς κανόνας ἀμφοτέρων τούτων ἐκθῆται (ὅθεν καὶ Πενθέκτη ἐπωνομάσθη), καὶ ἐν ταύτῃ, λέγω, τῇ πενθέκτῃ Συνόδῳ ἡ

αὐτὴ διεκηρύχθη ἀλήθεια, καὶ ἡ ἐν Νικαίᾳ ἐκτεθεῖσα πίστις ἐκυρώθη εὐθὺς ἐν τῷ πρώτῳ κανόνι, τάδε ὁρίζοντι. " Τάξις ἀρίστη, παντὸς ἀρχομένου καὶ λόγου « καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι καὶ εἰς Θεὸν « ἀναπαύεσθαι, κατὰ τὴν θεολόγον φωνήν. Ὅθεν καὶ « τῆς εὐσεβείας ὑφ' ἡμῶν ἤδη διαπρυσίως κηρυττο- « μένης, καὶ τῆς Ἐκκλησίας, ἐφ' ᾗ Χριστὸς τεθεμε- « λίωται, διηνεκῶς αὐξανούσης καὶ προκοπτούσης,... « ἀρχὴν τῶν ἱερῶν ποιούμενοι λόγων χάριτι θείᾳ, « ὁρίζομεν, ἀκαινοτόμητόν τε καὶ ἀπαράτρωτον φυλάτ- « τειν τὴν παραδοθεῖσαν ἡμῖν πίστιν ὑπό τε τῶν αὐτ- « οπτῶν καὶ ὑπηρετῶν τοῦ λόγου, τῶν θεοκρίτων Ἀπο- « στόλων· ἔτι δὲ καὶ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ « ἁγίων καὶ μακαρίων Πατέρων, τῶν ἐν Νικαίᾳ συνελ- « θόντων ἐπὶ Κωνσταντίνου τοῦ γενομένου ἡμῶν βασι- « λέως κατ' Ἀρείου τοῦ δυσσεβοῦς... ὡσαύτως δὲ καὶ « τὴν ἐπὶ τοῦ μεγάλου Θεοδοσίου, τοῦ γενομένου ἡμῶν « βασιλέως, ὑπὸ τῶν ἐν ταύτῃ τῇ βασιλίδι πόλει συν- « αχθέντων ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων κηρυ- « χθεῖσαν πίστιν κρατύνομεν, τὰς θεολόγους φωνὰς « ἀσπαζόμενοι, κ. τ. λ.—Εἰ δέ τις τῶν ἁπάντων μὴ « τὰ προειρημένα τῆς εὐσεβείας δόγματα κρατοῖ καὶ « ἀσπάζοιτο, καὶ οὕτω δοξάζοι τε καὶ κηρύττοι, ἀλλ' « ἐξ ἐναντίας ἰέναι τούτων ἐπιχειροῖ, ἔστω ἀνάθεμα, « κατὰ τὸν ἤδη ἐκτεθέντα ὅρον ὑπὸ τῶν προδηλωθέν- « των ἁγίων καὶ μακαρίων Πατέρων, καὶ τοῦ Χριστια-

« νικοῦ καταλόγου, ὡς ἀλλότριος, ἐξωθείσθω καὶ
« ἐκπιπτέτω. Ἡμεῖς γὰρ οὔτε προστιθέναι τι, οὔτε
« μὴν ἀφαιρεῖν, κατὰ τὰ προορισθέντα, παντελῶς
« διεγνώκαμεν, ἢ καθ' ὁντιναοῦν δεδυνήμεθα λόγον".

Καὶ τέλος πάντων ἡ ἑβδόμη οἰκουμεν. Σύνοδος, ἡ ἐν Νικαίᾳ τὸ δεύτερον συνελθοῦσα, οὐδὲν διάφορον τῶν πρὸ αὐτῆς Συνόδων ἔπραξεν, ἀλλὰ καὶ αὕτη τὸ Σύμβολον τῆς πίστεως κυρώσασα, τὸ αὐτὸ ἀποδίδωσιν αὐτῷ ὄνομα, πίστιν λέγουσα τὴν ἐν Νικαίᾳ. Αὐτίκα δὴ ὁ τῆς Συνόδου ταύτης προεξάρχων, Ταράσιος ὁ θαυμαστὸς Πατριάρχης Κωνσταντινουπόλεως, ἐν τῷ Ἀπολογητικῷ αὐτοῦ Λόγῳ πρὸς τοὺς συνελθόντας Πατέρας λέγει τάδε. "Οὐδὲν οὕτως ἐστὶν ἐνώπιον τοῦ
« Θεοῦ εὐαπόδεκτον καὶ εὐάρεστον, ὡς τὸ ἑνωθῆναι
« ἡμᾶς, καὶ γενέσθαι μίαν καθολικὴν Ἐκκλησίαν, καθὰ
« καὶ ἐν τῷ Συμβόλῳ τῆς εἰλικρινοῦς ἡμῶν πίστεως
« ὁμολογοῦμεν." Παρατήρησον, ὅτι οὐ λέγει κατὰ τοὺς νεωτέρους θεολόγους, "εἰς ἣν καὶ πιστεύειν δεδιδάγμεθα," ἢ "εἰς ἣν βαπτιζόμεθα," ὡς ἄλλοι λέγουσιν, ἀλλὰ "γενέσθαι μίαν Ἐκκλησίαν, καθὰ καὶ ἐν τῷ Συμβόλῳ ὁμολογοῦμεν". Τοῦτο δὲ σαφέστατα διδάσκει, ὅτι ἐν τῷ Συμβόλῳ μίαν εἶναι τὴν Ἐκκλησίαν ὁμολογοῦμεν, οὐχὶ δὲ καὶ ὅτι πιστεύομεν εἰς τὴν μίαν ταύτην Ἐκκλησίαν, ἀσεβῶς πάνυ συγκαταλέγοντες αὐτὴν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι.— Πρὸς δὲ τοὺς ἄλλους Πατριάρχας γράφων κατὰ τὰ

Ζ' οἰκουμεν. Σύνοδος, ἡ Β' ἐν Νικαίᾳ, τὸ 787 συνελθοῦσα ἐπὶ Κωνσταντίνου τοῦ Ζ' καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ.

εἰωθὸς τὴν ἐνθρονιστικὴν καλουμένην ἐπιστολὴν λέγει ὁ αὐτὸς Ταράσιος. "Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα « παντοκράτορα· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν « . . . καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωο- « ποιόν . . . ἐπὶ τούτοις δὲ προσδοκῶ ἀνάστασιν νεκρῶν, « καὶ ἑκάστου τῶν πραχθέντων αἰωνίαν ἀντίδοσιν « ἀγαθῶν τε καὶ τῶν ἐναντίων. Ἐξαιτοῦμαι δὲ καὶ « τὰς πρεσβείας τῆς τε παναγίας ἀχράντου καὶ ἀει- « παρθένου Μαρίας, τῶν τε ἁγίων ἀγγέλων, κ. τ. λ." πίστεως δὲ εἰς τὴν Ἐκκλησίαν οὐδαμοῦ μνημονεύει τὸ παράπαν· τοὐναντίον δέ, ἐν τέλει τῆς ἐπιστολῆς αὐτοῦ εὔχεται ὁ θαυμάσιος Πατριάρχης ὑπὲρ τῆς Ἐκκλησίας, ὡς καὶ περὶ ἄλλων πραγμάτων, ἐπιλέγων τάδε. "Καὶ « ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν εἰς ἓν « συναγάγοι ἡμᾶς, καὶ τὰ διῃρημένα ἑνώσειε, καὶ τὸ « χρόνιον ἕλκος ἰάσαιτο, καὶ ἐν εὐρωστίᾳ πίστεως « ἀκραιφνοῦς καὶ ἀληθοῦς ὁμολογίας καὶ συμφωνίας « στηρίξειε πάντας, καὶ φρουρήσειε τὴν ἁγίαν « αὐτοῦ Ἐκκλησίαν, καὶ παύσειε τὰ κατ' αὐτῆς « ἐπικείμενα σκάνδαλα, πρεσβείαις τῆς ἀχράντου δε- « σποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων. « Ἀμήν". Αὐτὰ δὲ ταῦτα ὁμολογοῦντες καὶ οἱ τῇ Συνόδῳ ἐκείνῃ ἐκ μεταμελείας προσερχόμενοι αἱρετικοὶ συγχωρήσεως ἠξιοῦντο, καὶ τῇ ὀρθοδόξῳ ποίμνῃ συγκατελέγοντο. Ἅπασα δὲ ἡ Σύνοδος ὁμοφώνως τὸν τῆς πίστεως ὅρον ἐξεφώνησεν εὐθὺς ἐν ἀρχῇ οὑτωσί.

« ... Καὶ πιστεύομεν εἰς ἕνα Θεόν, Πατέρα παντοκρά-
« τορα, πάντων ποιητὴν ὁρατῶν τε καὶ ἀοράτων. Καὶ
« εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν.... Καὶ εἰς τὸ
« Πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιόν.... Τριάδα
« ἄκτιστον, ἀμέριστον, ἀκατάληπτον, ἀπερίγραπτον,
« τὴν αὐτὴν ὅλην καὶ μόνην λατρευτὴν
« τε καὶ προσκυνητὴν καὶ σεβάσμιον·
« μίαν θεότητα, μίαν κυριότητα, μίαν ἐξουσίαν, μίαν
« βασιλείαν καὶ δύναμιν.... Ταῦτα οὕτω φρονεῖν ἐδι-
« δάχθημεν καὶ ἐβεβαιώθημεν παρά τε τῶν ἁγίων
« Πατέρων ἡμῶν καὶ τῆς αὐτῶν θεοπαραδότου διδα-
« σκαλίας". Ἐν τέλει δὲ ὅρον ἴδιον ἐκθεῖσα ἡ Σύνοδος
λέγει ἐν αὐτῷ. "...Μετὰ πάσης τοίνυν ἀκριβείας
« ἐρευνήσαντές τε καὶ διασκεψάμενοι, καὶ τῷ σκοπῷ
« τῆς ἀληθείας ἀκολουθήσαντες, οὐδὲν ἀφαιροῦμεν,
« οὐδὲν προστίθεμεν, ἀλλὰ πάντα τὰ τῆς καθολικῆς
« Ἐκκλησίας ἀμείωτα διαφυλάττομεν· καὶ ἑπόμενοι
« ταῖς ἁγίαις οἰκουμενικαῖς ἓξ Συνόδοις, πρῶτα μὲν τῇ
« ἐν τῇ λαμπρᾷ Νικαέων μητροπόλει συναθροισθείσῃ,
« ἔτι γε μὴν καὶ τῇ μετ' αὐτὴν ἐν τῇ θεοφυλάκτῳ βασι-
« λίδι πόλει—πιστεύομεν εἰς ἕνα Θεόν, κ. τ. λ." κατὰ
τὸ Σύμβολον τῆς Α' ἐν Νικαίᾳ Συνόδου, οἷον κατηρ-
τίσθη ἐν τῇ Β' τῇ ἐν Κωνσταντινουπόλει· οὐδαμοῦ δὲ
λέγεται, οὐδ' ἁπλῶς ὑπαινίττεται λεγόμενον τὸ πι-
στεύειν εἰς τὴν Ἐκκλησίαν. Παντων δὲ συντελεσθέν-
των τῶν ἔργων τῆς μεγάλης ἐκείνης Συνόδου, ἐπι-

στάντες οἱ βασιλεῖς ἐν αὐτῇ ἐκέλευσαν ἀναγνωσθῆναι τὸν ὑπ' αὐτῆς συνταχθέντα ὅρον· μετὰ δὲ τὴν ἀνάγνωσιν εἶπον οἱ βασιλεῖς. " Λεγέτω ἡ ἁγία καὶ « οἰκουμενικὴ Σύνοδος, εἰ κατὰ συναίνεσιν πάντων « ὑμῶν ἐξεφωνήθη ὁ ἀναγνωσθεὶς ὅρος· οἱ δὲ ἐξεβό- « ησαν. Οὕτω πιστεύομεν· πάντες οὕτω φρονοῦμεν· « πάντες συναινέσαντες ὑπεγράψαμεν· αὕτη ἡ πίστις « τῶν Ἀποστόλων· αὕτη ἡ πίστις τῶν Πατέρων· αὕτη « ἡ πίστις τῶν ὀρθοδόξων· αὕτη ἡ πίστις τὴν οἰκου- « μένην ἐστήριξε, κ. τ. λ."

Συμπέρασμα ἐκ τῶν περὶ τῶν ἑπτὰ οἰκουμεν. Συνόδων εἰρημένων

Ἐκ τῆς ἀκριβοῦς ταύτης ἐκθέσεως τῶν ἐν ταῖς πέντε τελευταίαις οἰκουμενικαῖς Συνόδοις πεπραγμένων σαφέστατα καταδείκνυται, ὅτι οὐδέποτε οὐδεὶς ἐφαντάσθη, ὅτι τὸ ἐν τῇ Β΄ οἰκουμεν. Συνόδῳ ἐπιβεβαιωθὲν Σύμβολον τῆς Α΄ ἐν Νικαίᾳ, μετεβλήθη ἐν τοῖς περὶ πίστεως διὰ προσθήκης τοῦ πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν, ἀλλ' ἀείποτε ἀμφότερα τὰ Σύμβολα ὡς ἓν καὶ τὸ αὐτὸ ἐνομίσθησαν, οἷα καὶ πράγματί εἰσι, καὶ διὰ τοῦτο ἐν ταῖς ἐφεξῆς πέντε Συνόδοις ἓν ὀνομάζεται Σύμβολον, τὸ Σύμβολον τῆς Νικαίας, ὅπερ ἁπλούστατα καὶ καθαρώτατα διδάσκει τρία τινὰ ταῦτα· ά) π ι σ τ ε ύ ε ι ν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα·— β΄) ὁ μ ο λ ο γ ε ῖ ν ἓν βάπτισμα·— καὶ γ΄) π ρ ο σ δ ο κ ᾷ ν ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος· οὐδὲν τούτου πλέον, οὐδὲν τούτου ἔλαττον. Αὕτη λοιπόν ἐστιν ἡ πίστις, ἣν παρελάβομεν ἐκ 2222 Πατέρων, ὅσοι συν-

ἦλθον εἰς τὰς ἑπτὰ οἰκουμενικὰς Συνόδους· εἰς μὲν τὴν πρώτην 318· εἰς δὲ τὴν δευτέραν 150· εἰς δὲ τὴν τρίτην 200· εἰς δὲ τὴν τετάρτην 630· εἰς δὲ τὴν πέμπτην 160· εἰς δὲ τὴν ἕκτην 170 (πρόσθες καὶ τοὺς εἰς τὴν πενθέκτην 227)· καὶ τέλος εἰς τὴν ἑβδόμην 367. Ἐῶ λέγειν τοὺς συνελθόντας εἴς τε τὴν καλουμένην πρώτην καὶ δευτέραν, καὶ τὴν μετ' ἐκείνην ἐν τῷ ναῷ τῆς ἁγίας Σοφίας (καὶ ταύτην οὐχ ἧττον οἰκουμενικὴν οὖσαν), ἀμφοτέρας ἐπὶ Φωτίου συνελθούσας, ὡς καὶ τοὺς συνελθόντας εἰς τὰς καλουμένας τοπικὰς Συνόδους, ἐν αἷς ἁπάσαις τὸ Σύμβολον τῆς πίστεως καὶ ἀνεγινώσκετο καὶ ἐγινώσκετο καὶ ὠνομάζετο Σύμβολον τῆς Νικαίας. Λέγω δὲ μόνον, ὅτι ἐγὼ ταῦτα πάντα ἀναγνοὺς καὶ καλῶς μελετήσας, πληρέστατα κατενόησα καὶ ἐπείσθην, ὅτι τὸ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω" πάντη πάντως ἄτοπον καὶ παράλογόν ἐστι, καὶ ἐν τῇ πεποιθήσει ταύτῃ προὐτίμησα ὡς μόνην λογικήν, ὀρθὴν καὶ εὐσεβῆ τὴν τοῦ Φωτίου ἑρμηνείαν, τὴν λέγουσαν, ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.

Περαίτεραι ἔρευναι.

Ἀλλ' ὅμως τὰς περὶ τοῦ πράγματος τούτου ἐρεύνας μου οὐ περιώρισα ἐν μόνοις τοῖς ἐν ταῖς Συνόδοις δεδογμένοις, εἰ καὶ αὕτη ἡ διδασκαλία ἐξαρκεῖ ἀποχρώντως παντὶ ὀρθοδόξῳ Χριστιανῷ· ἀλλὰ τὴν αὐτὴν ἀκο-

καὶ ἐν ἑτέρῳ Λόγῳ αὐτοῦ, ἐν ᾧ ἑρμηνεύει τὸ ἐν τῇ Α' πρὸς Κορινθίους ἐπιστολῇ τοῦ Παύλου· "οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, κ. τ. λ."—Ὁμοίως δὲ καὶ ἐν ᾧ ἑρμηνεύει τὸ εἰς τὸν ΡΙΕ' Ψαλμὸν—"ἐπίστευσα, διὸ ἐλάλησα"—ἀναφέρων τὸ τοῦ Παύλου, "ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον—ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ λαλοῦμεν"—ἐπιλέγει. "Μέγα τι μυστήριον ἡμῖν ἐνταῦθα « ἀποκαλύπτει· ποῖον δὴ τοῦτο; ὅτι τοῦ αὐτοῦ Πνεύ-« ματός ἐστιν ἡ Καινὴ καὶ ἡ Παλαιά, καὶ τὸ αὐτὸ « Πνεῦμα τὸ ἐν ἐκείνῃ φθεγξάμενον καὶ ἐν ταύτῃ « ἐλάλησε".—Καὶ αὖθις τὴν ἀρχὴν τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς "Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς Ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν Προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις" ἑρμηνεύων, λέγει τὰ σαφέστατα ταῦτα λόγια. "Ὁρᾷς καὶ ῥητῶς τοῦ « Εὐαγγελίου καὶ τὸ ὄνομα καὶ τὸν τρόπον ἐν τῇ « Παλαιᾷ κείμενον; οὐ γὰρ διὰ ῥημάτων αὐτὸ » καταγγέλλομεν μόνον, φησίν, ἀλλὰ καὶ διὰ πραγ-« μάτων· οὐδὲ γὰρ ἀνθρώπινον ἦν, ἀλλὰ καὶ θεῖον καὶ « ἀπόῤῥητον καὶ πᾶσαν ὑπερβαῖνον φύσιν. Ἐπειδὴ δὲ « καινοτομίαν ἐνεκάλουν τῷ πράγματι, δείκνυσιν αὐτὸ « πρεσβύτερον Ἑλλήνων ὄν, καὶ ἐν τοῖς Προφήταις « προδιαγραφόμενον". Διὰ ταῦτα πανταχοῦ τῶν Λό-

του, καὶ ἐξ οὗ ὀπισθοχωρήσας ἐπανέβην εἰς τὴν τοῦ Συμβόλου πηγὴν (ἥτις ἐστὶν ἡ Α΄ ἐν Νικαίᾳ Σύνοδος), κἀκεῖθεν ἐπανῆλθον εἰς τὴν πρώτην ἀφετηρίαν, οὐδὲν ἄλλο ἐν τῇ μακρᾷ ταύτῃ ἐρεύνῃ διδαχθείς, ἢ ὅτι τὸ ὑπονοεῖν πρὸ τοῦ Θ΄ ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω" οὐδαμοῦ παραδέδοται ἡμῖν οὔτε ὑπὸ τοῦ οἰκοδομήσαντος τὴν Ἐκκλησίαν, ἧς αὐτός ἐστιν ὁ θεμέλιος, οὔτε ὑπὸ τῶν μαθητῶν αὐτοῦ καὶ Ἀποστόλων, οὔτε ὑπὸ τῶν τοὺς Ἀποστόλους διαδεξαμένων καὶ λόγῳ τε καὶ γραφῇ τὴν ἐκείνων διδασκαλίαν ἐν παντὶ τῷ Κόσμῳ διαδόντων καὶ κρατυνάντων, τῶν θεοφόρων, λέγω, Πατέρων καὶ Διδασκάλων τῆς Ἐκκλησίας. Προΐωμεν τοίνυν εἰς τὴν περαιτέρω ἔρευναν, τοὺς προειρημένους Πατέρας ἀναγινώσκοντες, καὶ διὰ τοῦ φωτὸς αὐτῶν εἰς τὴν τῆς ἀληθείας ἀνεύρεσιν ποδηγετούμενοι.

Γρηγόριος ὁ Νύσσης.

Ἔλεγον ἐν τοῖς ἔμπροσθεν, ὅτι Γρηγόριος ὁ Νύσσης ἦν κατὰ δύο ἔτη νεώτερος ἀδελφὸς τοῦ μεγάλου Βασιλείου· ἐπέζησε δὲ μετὰ τὸν θάνατον ἐκείνου εἴκοσι περίπου ἔτη, καὶ παρῆν ἐν τῇ δευτέρᾳ οἰκουμενικῇ Συνόδῳ, ὑφ' ἧς καὶ διετάχθη, ὡς πάντων τῶν ἄλλων λογιώτερος,[41] ἵνα συντάξῃ τὴν τοῦ Συμβόλου συμπλή-

---

[41] Ὁ μὲν Σουΐδας (ἐν λ. Γρηγόριος) ἀποκαλεῖ αὐτὸν ἐλλογιμώτατον καὶ πάσης παιδείας ἀνάπλεων"· ὑπὸ δὲ τοῦ κριτικωτάτου Φωτίου ἐν Μυριοβίβλῳ (ἀνάγν. 6, 7 καὶ 231) ἀποκαλεῖται "λαμπρὸς τὴν φράσιν και ἡδονῆς ὠσὶν ἀποστάζων", καὶ "ὁ ποταμὸς τῶν λόγων ὁ Νύσσης Γρηγόριος".

ρωσιν, ἀναπτύσσων τὸ περὶ τοῦ ἁγίου Πνεύματος μέρος διὰ τῆς ἐκθέσεως τῶν ἰδιοτήτων τοῦ τρίτου προσώπου τῆς ἁγίας Τριάδος πρὸς καταστροφὴν τῆς τοῦ Μακεδονίου αἱρέσεως.[42] Τοῦ θείου τούτου Πατρὸς ἔχομεν 68 Λόγους καί τινας ἐπιστολάς· ἐξ ὧν πολλὰ μὲν δυνατὸν παραθεῖναι εἰς ἀπόδειξιν τοῦ προκειμένου, ἀρκοῦσι δὲ δύο μόνα ταῦτα. Ἐν μὲν τῷ κατὰ Εὐνομίου Β′ Λόγῳ (δώδεκα δὲ Λόγους ἔγραψεν ὑπὸ τὴν ἐπιγραφὴν ταύτην, ὑπερασπίζων τοῦ ἀδελφοῦ αὐτοῦ Βασιλείου, συκοφαντηθέντος ὑπὸ τοῦ αἱρετικοῦ Εὐνομίου) εὐθὺς ἀρχόμενος λέγει. "Πιστεύομεν οὖν, καθὼς ἐξέθετο τοῖς μαθηταῖς τὴν πίστιν ὁ Κύριος « εἰπών—Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, « βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ « τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.—Ταύτης οὖν « παρὰ τοῦ Θεοῦ τοῖς Ἀποστόλοις παραδοθείσης τῆς

•Ἀλλὰ καὶ ἐν τῇ Ζ′ οἰκουμεν. Συνόδῳ (Πρᾶξ. ΣΤ′) μνημονεύεται μετὰ πολλῶν καὶ δικαίων ἐγκωμίων.—Ἴδε τὸν βίον αὐτοῦ ἐν τῇ Πατρολογίᾳ Κ. Κοντογόνου, τόμ. Β′, σελ. 425 κ. ἑξ.

[42] Τοῦτο ἱστορεῖ Νικηφόρος ὁ Κάλλιστος ἐν τῇ Ἐκκλησ. Ἱστορ. (ΙΒ′,13) καὶ ἄλλοι. Δοσίθεος δὲ ὁ Ἱεροσολύμων Πατριάρχης ἐν Δωδεκαβίβλῳ (σελ. 1028) λέγει, ὅτι ὁ Ναζιανζηνὸς Γρηγόριος συνέταξε τὰς προσθήκας ταύτας.—Ἴδε Πηδάλιον, σελ. 87, σημ. 1.—Τούτου τεθέντος, πῶς δύναταί τις ὑπολαβεῖν, ὅτι ὁ αὐτὸς Γρηγόριος, ὁ διδάσκων ἡμᾶς, ὡς ἀνωτέρω (σελ. 30) εἴδομεν, ὅτι "οὐ ταὐτόν ἐστι πιστεύειν εἴς τι καὶ περὶ αὐτοῦ πιστεύειν· τὸ μὲν γάρ ἐστι θεότητος, τὸ δὲ παντὸς πράγματος"—ὁ αὐτὸς ἐν τῷ Συμβόλῳ ἔγραψεν, ὅτι πιστεύομεν εἰς τὴν Ἐκκλησίαν; Εἰπάτωσαν ἡμῖν οἱ ἀπερισκέπτως ἐπιμένοντες εἰς τὸ ἐννοεῖν πρὸ τοῦ Θ′ ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω".

« πίστεως, οὔτε ὑφαίρεσιν, οὔτε παραλλαγήν, οὔτε
« προσθήκην ποιούμεθα· σαφῶς εἰδότες, ὅτι ὁ τολ-
« μῶν τὴν θείαν φωνὴν διὰ κακουργίας
« σοφιστικῆς παρατρέπειν, οὗτος ἐκ τοῦ
« πατρὸς τοῦ διαβόλου ἐστίν· ὃς ἀφεὶς τῆς
« ἀληθείας τὰ ῥήματα, ἐκ τῶν ἰδίων λαλεῖ, πατὴρ
« ψεύδους γινόμενος· πᾶν γὰρ τὸ παρὰ τὴν ἀλήθειαν
« λεγόμενον ψεῦδός ἐστι πάντως καὶ οὐκ ἀληθές". Ἐν
δὲ τῇ πέμπτῃ αὐτοῦ ἐπιστολῇ, ἣν ἔγραψε "πρὸς τοὺς
« ἀπιστοῦντας τῇ ὀρθοδοξίᾳ αὐτοῦ," λέγει. "Ἐγνώ-
« ρισαν ἡμῖν τινες τῶν ὁμοψύχων ἀδελφῶν περὶ τῆς
« κατασκευαζομένης καθ' ἡμῶν δυσφημίας παρὰ τῶν
« μισούντων τὴν εἰρήνην... λέγοντες τὰ περιθρυλλού-
« μενα καθ' ἡμῶν ἐγκλήματα εἶναι τοιαῦτα, ὅτι ἡμεῖς
« ὑπεναντία φρονοῦμεν τοῖς κατὰ Νίκαιαν ἐκθεμένοις
« τὴν ὀρθὴν καὶ ὑγιαίνουσαν πίστιν, καὶ ὅτι τοὺς ἐν
« Ἀγκύρᾳ ἐπ' ὀνόματι Μαρκέλλου ποτὲ τὴν σύναξιν
« ἔχοντας ἀκρίτως καὶ ἀνεξετάστως εἰς τὴν κοινωνίαν
« τῆς καθολικῆς Ἐκκλησίας παρεδεξάμεθα. Ἵν' οὖν μὴ
« καταχρατῇ τῆς ἀληθείας τὸ ψεῦδος, δι' ἑτέρων γραμ-
« μάτων αὐτάρκη ἐποιησάμεθα τὴν ὑπὲρ τῶν ἐπενε-
« χθέντων ἡμῖν ἐγκλημάτων ἀπολογίαν, καὶ ἐπὶ τοῦ
« Κυρίου διεβεβαιωσάμεθα μήτε τῆς πίστεως τῶν ἁγίων
« Πατέρων ἐκβεβηκέναι, μήτε τῶν προσθεμένων ἐκ τῆς
« Μαρκέλλου συνάξεως εἰς τὴν Ἐκκλησιαστικὴν κοι-
« νωνίαν ἀκρίτως καὶ ἀνεξετάστως τι πεποιηκέναι....

« Ἐπειδὴ δὲ τὴν ἀπολογίαν ἐκείνην ἔγγραφον ἡμῶν
« ποιησαμένων, πάλιν τινὲς τῶν ὁμοψύχων ἀδελφῶν
« ἰδίως ἐκ τῆς ἡμετέρας φωνῆς ἐπεζήτησαν γενέσθαι
« τὴν τῆς πίστεως ἔκθεσιν, καθ' ἣν πεπληροφορήμεθα
« ταῖς θεοπνεύστοις φωναῖς, καὶ τῇ παραδόσει τῶν
« Πατέρων ἀκολουθοῦντες, ἀναγκαῖον ἐλογισάμεθα
« καὶ περὶ τούτων βραχέα διαλεχθῆναι. Ἡμεῖς τὴν
« τοῦ Κυρίου διδασκαλίαν, ἣν πρὸς τοὺς μαθητὰς
« ἐποιήσατο, παραδιδοὺς αὐτοῖς τὸ τῆς εὐσεβείας
« μυστήριον, θεμέλιον εἶναι καὶ ῥίζαν τῆς ὀρθῆς καὶ
« ὑγιαινούσης πίστεως ὁμολογοῦμεν· καὶ οὔτε ὑψηλό-
« τερον τῆς παραδόσεως ἐκείνης οὔτε ἀσφαλέστερον
« ἄλλο τι εἶναι πιστεύομεν. Ἡ δὲ τοῦ Κυρίου διδα-
« σκαλία ἐστὶν αὕτη—Πορευθέντες, φησί, μαθητεύσατε
« πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ
« Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος·—
« καὶ πιστεύομεν εἴς τε τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν
« Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν ἡ πηγὴ τῆς ζωῆς, καὶ εἰς
« τὸν μονογενῆ Υἱὸν τοῦ Πατρός, ὅς ἐστιν ἀρχηγὸς
« τῆς ζωῆς, καθά φησιν ὁ Ἀπόστολος, καὶ εἰς τὸ
« Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, περὶ οὗ εἶπεν ὁ Κύριος,
« ὅτι τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν... Ταύτην οὖν
« ἔχοντες τὴν πληροφορίαν, βαπτίζομεν μὲν ὡς προσ-
« ετάχθημεν, πιστεύομεν δὲ ὡς βαπτιζόμε-
« θα, δοξάζομεν δὲ ὡς πιστεύομεν· ὥστε ὁμοφώνως
« τὸ βάπτισμα καὶ τὴν πίστιν καὶ τὴν δόξαν εἰς Πατέρα

« εἶναι καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, κ. τ. λ." Αὐτὰ ταῦτα λέγει καὶ ἐν τῇ ΚΔ' ἐπιστολῇ αὐτοῦ, ἣν ἔγραψε πρὸς τὸν αἱρετικὸν Ἡρακλειανόν, καὶ ἀλλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ πολλάκις. Ἐπὶ τούτοις δὲ μὴ ἐπιλανθάνου, ὅτι ὁ αὐτὸς θεῖος Πατήρ, ὁ συντάξας τὴν εἰς τὸ Σύμβολον προσθήκην, ὑπέγραψε καὶ τὰς Συνοδικὰς ἐπιστολὰς πρός τε τὸν αὐτοκράτορα Θεοδόσιον καὶ πρὸς τοὺς ἐν Ῥώμῃ συνεληλυθότας Ἐπισκόπους, παρὰ τῆς αὐτῆς Συνόδου γεγραμμένας, καὶ τέλος πάντων αὐτὰς τῆς Συνόδου τὰς πράξεις, ἐν αἷς πρῶτος κανὼν γέγραπται (καὶ ἴσως μάλιστα ὑπ' αὐτοῦ τούτου τοῦ Γρηγορίου, ὡς λογιωτέρου τῶν ἄλλων, συντεταγμένος) « Μὴ ἀθετεῖσθαι τὴν πίστιν τῶν Πατέρων τῶν τριακο- « σίων δεκαοκτώ, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελ- « θόντων, ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθεματι- « σθῆναι πᾶσαν αἵρεσιν ".[43] Εἰ οὖν ὁ τὸ ἐν Κωνσταντινουπόλει καταρτισθὲν Σύμβολον γράψας ἄλλην ἢ τὴν ἐν Νικαίᾳ πίστιν παρεδίδου ἡμῖν διὰ τοῦ νεωτέρου Συμβόλου, πῶς ἠδύνατο ταῦτα μετὰ τῶν ἄλλων Πατέρων συνυπογράψαι, καὶ διδάσκειν μόνην τὴν ἐν Νικαίᾳ πίστιν κυρίαν εἶναι;—

Μεταβῶμεν νῦν εἰς τὸν μετὰ Γρηγορίου τοῦ Νύσσης ἐν τῇ Β' οἰκουμενικῇ Συνόδῳ παραστάντα Ἀμφιλόχιον τὸν Ἰκονίου Ἀρχιεπίσκοπον, τὸν καὶ ἔπειτα προεδρεύ-

Ἀμφιλόχιος ὁ Ἰκονίου.

---

[43] Ἴδε περὶ τούτου ἐν τοῖς ἔμπροσθεν, σελ. 82.

σαντα τῆς ἐν Σίδῃ τοπικῆς Συνόδου (ἣ συνῆλθε τὸ 383 κατὰ τῶν αἱρετικῶν Μασσαλιανῶν), ἀποθανόντα δὲ συγχρόνως ἴσως τῷ Γρηγορίῳ. Ὀλίγοι τινὲς λόγοι τοῦ θείου τούτου Πατρὸς περιῆλθον εἰς ἡμᾶς· ἀλλ' ἐν τούτοις σώζεται καὶ ἐπιστολή τις αὐτοῦ κανονική, ἣν ἐξέδωκεν ὁ Κοτελέριος ἐν τῷ δευτέρῳ τόμῳ τῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας ὑπομνημάτων, ἐξ ἐκείνου δὲ καὶ ὁ σοφὸς Ἄγγλος G. W. Harvey ἐν τῇ τριτόμῳ συλλογῇ αὐτοῦ τῇ ἐπιγραφομένῃ Ecclesiæ Anglicanæ Vindex Catholicus. Καὶ γινώσκω μέν, ὅτι παρ' ἄλλων ἀποδίδοται ἡ ἐπιστολὴ αὕτη τῷ Βασιλείῳ, διότι εὕρηταί που φέρουσα ἐπιγραφὴν "Ἀμφιλοχίῳ Βασίλειος"· ἀλλ' ἡ περὶ τούτου ἐξέτασις οὐκ ἔστι τοῦ προκειμένου ἡμῶν σκοποῦ· ἄλλως τε δέ, ἀμφότεροι οἱ Πατέρες οὗτοί εἰσι σεβαστοὶ τῆς Ἐκκλησίας Διδάσκαλοι, σύγχρονοι καὶ φίλοι, τὴν αὐτὴν ὀρθοδοξίαν ἀποδεχόμενοι καὶ διδάσκοντες· ὥστε εἰς ὁπότερον ἂν αὐτῶν ἀποδοθῇ ἡ ἐπιστολή, ἀξιόπιστος ἔσται πάντως ἡ ἐξ αὐτῆς λαμβανομένη μαρτυρία. Λέγονται λοιπὸν ἐν τῇ ἐπιστολῇ τάδε πρὸς τοὺς περὶ πίστεως ἐρωτήσαντας. « Τίς οὖν ἡ πρὸς τὴν πεῦσιν ἀπόκρισις; Τὴν ἁγίαν « Σύνοδον τῶν Πατέρων τῶν ἐν Νικαίᾳ, Σύνοδον ὄντως « καθολικὴν καὶ Ἀποστολικὴν γνωρίζομεν, καὶ πίστιν « τὴν ἐκτεθεῖσαν ὑπὸ τῶν Πατέρων τηνικαῦτα φυλάττο- « μεν ἀκίνητον, καὶ πρὸς τὸ διηνεκὲς ἀσπάρακτον μένειν « εὔχομαι. Γέγονε δὲ τότε τοῖς Πατράσιν ἀναγκαιό-

« τερον, πλατύτερον ἐξηγήσασθαι περὶ τῆς δόξης τοῦ
« μονογενοῦς, ἐπειδὴ τότε νεωστὶ φυομένην τὴν αἵρε-
« σιν τοῦ Ἀρείου διὰ σπουδῆς ἔσχον ἐκκόψαι, τὰ
« πρῶτα αὐτῆς προαναιροῦντες σπέρματα, πρὶν τελέως
« ἐκτραχυνθῆναι τὴν ἄκανθαν.... Ἐπεὶ δὲ πρόσφατον
« ὁ Σατανᾶς διασαλεύειν τὰς Ἐκκλησίας ἐπιχειρῶν
« ἐνέβαλέ τισι περὶ τοῦ Πνεύματος δισταγμόν, ἀναγ-
« καῖον ἐπὶ τὴν πηγὴν ἀνατρέχειν τῆς πίστεως, ἐξ ἧς
« καὶ οἱ κατὰ Νίκαιαν Πατέρες ἀναρυσάμενοι τὴν ἔκ-
« θεσιν τῆς πίστεως ἐποίησαν. Τίς οὖν ἡμῶν ἡ τῆς
« πίστεως τελειότης; Ἡ τοῦ Κυρίου παράδοσις, ἣν
« μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῖς ἁγίοις αὐτοῦ
« μαθηταῖς ἐνετείλατο, προστάξας—Πορευθέντες μα-
« θητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς
« τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου
« Πνεύματος.—Δῆλον ὅτι τὴν ἐντολὴν ἐδεξάμεθα οὐ
« μόνον εἰς τὸ βαπτίζειν οὕτως, ἀλλὰ καὶ εἰς τὸ μαθη-
« τεύειν οὕτως, ὡς διὰ ταύτης τῆς ἐντολῆς καὶ τὴν
« Σαβελλίου νόσον ἀποκλεισθῆναι... καὶ τῶν Ἀν-
« ομοίων καὶ τῶν Ἀρειανῶν καὶ τῶν Πνευματομάχων
« ἐμφραγῆναι τὰ στόματα. κ. τ. λ."

Ἰωάννης ὁ Χρυσόστομος.

Μετὰ τοὺς δύο τούτους Πατέρας, τοὺς ἐν τῇ Β' οἰκουμενικῇ Συνόδῳ παραστάντας, ἕπεται κατὰ χρονολογικὴν τάξιν ὁ μέγιστος τῆς Ἐκκλησίας φωστήρ, ὁ μεγαλοφωνότατος τῆς Ἐκκλησίας κήρυξ, ἡ εὔλαλος καὶ πολύφωνος τῆς Ἐκκλησίας χελιδών, τὸ θεόπνευ-

στον τῆς Ἐκκλησίας ὄργανον, Ἰωάννης ὁ Χρυσόστομος, ἀποθανὼν ἐν ἔτει 407. Ἐπιλείψει ἡμᾶς καὶ τόπος καὶ χρόνος, ἐὰν τοῦ μεγάλου τούτου τῆς Ἐκκλησίας Διδασκάλου τὰ συγγράμματα διεξερχόμενοι τὰς περὶ πίστεως μαρτυρίας παρατιθώμεθα. Διὰ τοῦτο ὀλίγα ἐκ τῶν πολλῶν, καὶ πάντων πρώτιστον τὸ πάντων κοινότατον καὶ σαφέστατον, παραθήσομαί σοι, ἐν ᾧ πᾶσα ἡ περὶ πίστεως ὀρθὴ διδασκαλία καὶ ἡ τοῦ Συμβόλου ἑρμηνεία διαῤῥήδην ἐκτίθενται, καὶ καθ' ἡμέραν σχεδὸν ἑκάστην, ὡς βαρυφθόγγου σάλπιγγος ἦχος, πάντων τῶν Χριστιανῶν πλήττει τὰς ἀκοάς, ὑπὸ χιλιάδων μὲν στομάτων ἱερουργούντων κληρικῶν ἐκφωνουμένη, ὑπὸ ἑκατομμυρίων δὲ ὤτων Χριστιανῶν ἐν κατανύξει καὶ φόβῳ Θεοῦ ἀκουομένη. Ποῖον δὲ τὸ σαφέστατον τοῦτο καὶ πᾶσι κοινότατον, ἅμα δὲ καὶ ἱερώτατον τοῦ Χρυσοῤῥήμονος σύγγραμμα, ὃ πρὸ τῶν ἄλλων ἁπάντων εἰς ἀπόδειξιν τοῦ προκειμένου παρατίθεμαι; Ἡ θεία Λειτουργία, ἣν ἡμῖν κατέλιπε, κοινότατον κτῆμα, καθ' ἑκάστην σχεδὸν ἡμέραν τελουμένη ἁπανταχοῦ τοῦ χριστιανικοῦ Κόσμου. Ἐῶ δὴ λέγειν, ὡς πᾶσι γνωστόν, ὅτι ἡ Λειτουργία αὕτη ἄρχεται μὲν δι' ἐπικλήσεως τῆς ἁγίας Τριάδος, ἐκφωνοῦντος τοῦ ἱερέως "Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ »Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος"· πάσας δὲ τὰς ἐν μέσῳ εὐχὰς καὶ ἐκφωνήσεις καταπαύει διὰ τῆς αὐτῆς ἐπικλήσεως· καὶ τέλος πάντων συμπληροῦται διὰ τοῦ

ὡραίου ἐκείνου ὕμνου—"Εἴδομεν το φῶς τὸ ἀληθινόν·
« ἐλάβομεν Πνεῦμα ἐπουράνιον· εὕρομεν πίστιν ἀληθῆ,
« ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς
« ἔσωσε"· μεθ' ὃν ἡ ὀπισθάμβωνος καλουμένη εὐχὴ
τελευταίας ἔχει λέξεις τὴν ἡμετέραν ὁμολογίαν, ὅτι
« δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν
« τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι".[44]
Οὐδὲν ὁμοίως λέγω περὶ τοῦ δὶς ἐν τῇ Λειτουργίᾳ
ψαλλομένου τρισαγίου ὕμνου, ὡς ἱκανὰ περὶ τούτου
εἰπὼν ἐν τοῖς ἔμπροσθεν (σελ. 64—65), καὶ τὴν ἑρμη-
νείαν αὐτοῦ ἔκ τε τοῦ Ἐπιφανίου καὶ τοῦ μεγάλου Ἀμ-
βροσίου καὶ ἐξ ἄλλων Πατέρων παραθέμενος. Ἀλλὰ τὸ
ἐν τῇ ἐκφωνήσει τοῦ Συμβόλου τῆς πίστεως γινόμενον
ἐν τῇ θείᾳ καὶ ἱερᾷ Λειτουργίᾳ τοῦ τε Χρυσοστόμου

---

[44] Οὐ μόνον δὲ ἐν τῇ θείᾳ Λειτουργίᾳ, ἀλλὰ καὶ ἐν πάσαις ταῖς Ἀκο-
λουθίαις τῆς Ἐκκλησίας ἡμῶν, καὶ ἐν αὐταῖς ταῖς κατ' οἶκον προσευχαῖς
τοιαύτην ποιούμεθα τὴν ἀρχὴν καὶ τοιοῦτο τὸ τέλος ἐν ὀνόματι τῆς ἁγίας
Τριάδος· ἰδίως δὲ ἡ τοῦ Ὄρθρου ἀκολουθία ἄρχεται, ὡς γνωστόν, διὰ τῆς
μεγαλοπρεποῦς καὶ συγκινητικῆς ἐκείνης ἐκφωνήσεως—"Δόξα τῇ ἁγίᾳ καὶ
ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, κ. τ. λ." Ἑνὶ δὲ λόγῳ εἰ-
πεῖν, ἀφ' ἧς στιγμῆς γεννώμεθα μέχρι τῆς στιγμῆς καθ' ἣν θαπτόμεθα, ἐν
ὀνόματι τῆς Ἁγίας Τριάδος τὰ πάντα πράττομεν, καὶ βαπτιζόμενοι, καὶ
εἰς γάμου κοινωνίαν συναπτόμενοι, καί, τὸ πάντων ὕστατον, εἰς ταφὴν ἐκ-
φερόμενοι καὶ θαπτόμενοι. Ὅταν μὲν γὰρ ἐκφέρωσιν ἡμᾶς οἱ ἱερεῖς, τὸν
Τρισάγιον ψάλλουσιν ὕμνον· ὅταν δὲ καταθῶσιν ἡμᾶς ἐν τῇ Ἐκκλησίᾳ, ἄλλα
τε ὑπὲρ ἡμῶν ψάλλουσι, καὶ δὴ καὶ τὸ πάντων ἐμφαντικώτατον τοῦτο τρο-
πάριον. "Ἀνάρχῳ καὶ γεννήσει τε καὶ προόδῳ Πατέρα προσκυνῶ τὸν
« γεννήσαντα, Υἱὸν δοξάζω τὸν γεννηθέντα, ὑμνῶ τὸ συνεκλάμπον Πατρί
« τε καὶ Υἱῷ Πνεῦμα ἅγιον"· καὶ εἰς τὸν τάφον αὐτὸν καταβιβάζοντες εὐ-

καὶ τοῦ Βασιλείου τίς τῶν Χριστιανῶν ἀγνοεῖ; ἢ τίς τοσαύτην ἕξει αὐθάδειαν, ὥστε διαστρέψαι τοῦ πράγματος τούτου τὴν ἔννοιαν, οὕτως οὖσαν προφανῆ καὶ ἐναργεστάτην; Εὐθὺς οὖν μετὰ τὴν καλουμένην μεγάλην εἴσοδον ὁ ἱερεὺς ἀναγινώσκει τὴν δέησιν ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων, καὶ μετὰ τοῦτο προσκαλεῖ τοὺς πιστοὺς εἰς τὸ ἀγαπῆσαι ἀλλήλους, καὶ ἐν ὁμονοίᾳ ὁμολογῆσαι Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον· οὐδὲν τούτου πλέον, οὐδὲν τούτου ἔλαττον προσκαλούμεθα ἐν πάσῃ τῇ ἐπισημότητι τῆς Ἐκκλησίας ὁμολογῆσαι, ἀλλ' ἁπλῶς καὶ σαφέστατα τὴν εἰς τὴν τρισυπόστατον Θεότητα πίστιν ἡμῶν. Μετὰ δὲ τὴν παρακέλευσιν ταύτην οἱ μὲν θυρωροὶ διατάσσονται προσέχειν εἰς τὰς θύρας, ἵνα μή τις εἰσέλθῃ τῶν ἀμυήτων, ἢ παραμένῃ ἐν τῇ Ἐκκλησίᾳ, οἱ δὲ πιστοὶ ἐν σοφίᾳ προσέχειν τὸν νοῦν εἰς τὴν ὁμολογίαν τῆς πίστεως, ἣ καὶ ἀπαγγέλλεται εὐθὺς μετὰ τὴν διαταγὴν ταύτην. Τούτων οὖν οὕτως

χονται ὑπὲρ ἡμῶν τῷ τῶν ψυχῶν καὶ σωμάτων δεσπόζοντι, ἐπιλέγοντες— "Ὅτι Σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου « Σου, Χριστὲ ὁ Θεὸς ἡμῶν· καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρ- « χῳ Σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, « νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων". Ἐν παντὶ λοιπὸν τῷ βίῳ καὶ μετὰ θάνατον ἔτι ἡ ἁγία Τριάς ἐστιν ἡ λατρεία ἡμῶν, ἡ πίστις ἡμῶν, ἡ σωτηρία ἡμῶν· ἡ δὲ Ἐκκλησία οὐδαμοῦ ἄλλοθι μνημονεύεται ἢ ἐν μόνῃ τῇ ἐλεεινῇ παρεξηγήσει τοῦ Συμβόλου τῆς πίστεως.

ἐχόντων, ἐὰν ἡμεῖς ῥητῶς διατασσόμενοι ὁμολογῆσαι, ὅτι πιστεύομεν εἰς μόνην τὴν ἁγίαν Τριάδα, ὁμολογῶμεν, ὅτι πιστεύομεν εἰς Τετράδα, ὡς καὶ τὴν κτιστὴν Ἐκκλησίαν, τὴν ὁμήγυριν τῶν ἀνθρώπων, τὸ ἄθροισμα τῶν ἀνθρώπων, συγκαταλέγοντες τῇ ἁγίᾳ Τριάδι, οὐ πράττομεν παρ' ὃ ῥητῶς διετάχθημεν; πόθεν δὲ τοῦτο διδασκόμεθα; ἐκ τίνος τῶν Συνόδων; ἐκ τίνος τῶν Πατέρων; ἐκ τίνος διατάξεως Ἐκκλησιαστικῆς ἐγγράφου ἢ ἀγράφου; Ἐκ τοῦ Κυρίλλου (λέγουσί τινες) τοῦ Ἱεροσολύμων· ἐγὼ δὲ λέγω, ἐκ τοῦ Ἀρείου καὶ Νεστορίου· ἐφεξῆς δὲ ἐκ Γεωργίου τοῦ Τραπεζουντίου, γραμματέως τοῦ Πάπα Νικολάου Ε', ἐκ τοῦ Fleury, ἐκ τοῦ De-Maistre, καὶ τῶν ἄλλων Ἰησουϊτῶν καὶ Καπουσίνων, ὡς προϊόντες ὀψόμεθα. Ἀλλὰ πρὸς Θεοῦ τοῦ ἐν Τριάδι ὑμνουμένου, τί τούτου ἐλεεινότερον; τί τούτου ἀσεβέστερον; Αἱ μὲν Σύνοδοι ἁπαξάπασαι, ὡς ἱκανῶς ἀνωτέρω δέδεικται, καὶ οἱ Πατέρες τῆς ὀρθοδόξου ἡμῶν Ἐκκλησίας ἁπαξάπαντες, παρέδωκαν ἡμῖν, ἐκ τῶν Ἀποστόλων καὶ τοῦ Σωτῆρος ἡμῶν παραλαβόντες, τὸ πιστεύειν εἰς Τριάδα ὁμοούσιον καὶ ἀχώριστον, καὶ αὐτὴ δὲ ἡ Ἐκκλησία διὰ στόματος τοῦ ἱερουργοῦντος τοῦτ' αὐτὸ κελεύει ἡμᾶς ὁμολογῆσαι ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ· ἡμεῖς δὲ παρὰ ταῦτα πάντα τὰ φοβερὰ ἐπιτάγματα, παριστάμενοι ἐνώπιον τοῦ Θεοῦ, ὁμολογήσομεν ἄλλ' ἀντ' ἄλλων; ἡμεῖς, οἱ πρὸ ὀλίγων στιγμῶν ὁμολογήσαντες, ὅτι

"τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζομεν, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν Τρισάγιον ὕμνον προσᾄδομεν", ἡμεῖς αὐτοὶ μετ' ὀλίγον ὁμολογήσομεν εἰς Τετράδα πιστεύειν ἀντὶ τῆς Τριάδος; Ἴδωμεν δὲ καὶ τὸ μετὰ ταῦτα ἐν τῇ θείᾳ Λειτουργίᾳ γινόμενον. Εὐθὺς μετὰ τὴν ἡμαρτημένην καὶ ἀσεβῆ ταύτην τοῦ Συμβόλου ἀνάγνωσιν, ὁ μὲν ἱερεὺς εὐλογῶν ἡμᾶς λέγει· "Ἡ χάρις τοῦ Κυ-« ρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ « καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος « εἴη μετὰ πάντων ἡμῶν"· καὶ ἅμα ἐπιλέγει· "Ἄνω « σχῶμεν τὰς καρδίας· εὐχαριστήσωμεν τῷ Κυρίῳ"· ἡμεῖς δὲ πάλιν ἐπᾴδομεν· "Ἄξιον καὶ δίκαιόν ἐστι « προσκυνεῖν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα « ὁμοούσιον καὶ ἀχώριστον"· καὶ μετὰ τοῦτο πάλιν ἐπᾴδομεν τὸν Τρισάγιον ὕμνον—Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ κ. τ. λ., πανταχοῦ τὴν ἁγίαν Τριάδα κελευόμενοι ὁμολογεῖν καὶ προσκυνεῖν, καὶ πανταχοῦ τοῦτο πράττοντες, ἐκτὸς τοῦ Συμβόλου τῆς πίστεως, ἐν ᾧ παραλόγως καὶ ἀνοήτως οὐ πράττομεν κατὰ τὰ διατεταγμένα, ἀλλὰ τῇ ἁγίᾳ Τριάδι καὶ τὴν Ἐκκλησίαν συγκαταριθμοῦμεν καὶ συμπροσκυνοῦμεν.

Ἴδωμεν νῦν ἐν τοῖς Λόγοις τοῦ θείου Χρυσοστόμου, ὅτι περὶ Ἐκκλησίας λόγον ποιούμενος δείκνυσιν ἡμῖν πανταχοῦ, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολι-

κὴν Ἐκκλησίαν, ὡς ὁ Φώτιος εἶπε.[45] Καὶ πανταχοῦ μὲν τῶν λόγων αὐτοῦ τοῦτο διδάσκει, ἐξαιρέτως δὲ ἐν τῷ ἐπιγραφομένῳ "Πρός τε Ἰουδαίους καὶ Ἕλληνας ἀπόδειξις, ὅτι ἐστὶ Θεὸς ὁ Χριστός, ἐκ τῶν παρὰ τοῖς Προφήταις πολλαχοῦ περὶ αὐτοῦ εἰρημένων." Ἅπας ὁ λόγος οὗτος δείκνυσι τὰ περὶ τῆς Ἐκκλησίας προπεφητευμένα· ἐν δὲ τῇ § 6 τάδε λέγονται. "Πανταχοῦ « τῆς οἰκουμένης κήρυκας ἀποστελεῖ, καὶ οὐδεὶς ἀν-« ήκοος ἔσται τοῦ κηρύγματος· καὶ τοῦτο προαναπε-« φώνηται. Ἄκουε γὰρ τοῦ Δαυὶδ (ΙΗ', 5) λέγοντος « τοῦτο καὶ προφητεύοντος—Εἰς πᾶσαν τὴν γῆν ἐξῆλ-« θεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκου-« μένης τὰ ῥήματα αὐτῶν.—...Ὅτι δὲ καὶ τὸ κήρυγ-« μα πανταχοῦ κρατήσει προαναπεφώνηται. Ὅρα « Δαυὶδ τοῦτό σοι παριστῶντα (Β', 8) δι' ὧν λέγει— » Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονο-« μίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς « γῆς.—Καὶ πάλιν ἀλλαχοῦ ἕτερος προφήτης (Ἠσ. « ΙΑ', 9) φησὶ τὸ αὐτὸ δηλῶν—Πλησθήσεται ἡ σύμ-« πασα γῆ τοῦ γνῶναι τὸν Κύριον, κ. τ. λ.—...Εἶτα « δεικνὺς καὶ πόθεν συστήσεται ἡ Ἐκκλησία προλέγει.

---

[45] Καὶ ἐνταῦθα πάλιν ἐπικαλοῦμαι τὴν προσοχὴν τῶν ἐν Λονδίνῳ Ἑλλήνων θεολόγων, ὅπως μάθωσι καὶ ἐκ τοῦ Χρυσοστόμου ὅ,τι καὶ ἐκ τοῦ Ἐπιφανίου ἀνωτέρω ἐδιδάχθησαν, ὅτι δηλαδὴ ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἔχει τὴν ἀρχὴν ἀπ' αὐτῆς τῆς ἀρχῆς τοῦ Κόσμου, ἵνα μὴ παραλόγως καὶ ἀσεβῶς διϊσχυρίζωνται, ὅτι οἱ Προφῆται οὐκ ἠδύναντο λαλῆσαι εἰς Ἀποστολικὴν Ἐκκλησίαν, οὐχ ὑπάρχουσαν ἐν ταῖς ἡμέραις αὐτῶν.

« Ἐπειδὴ γὰρ οὐκ ἐπιεικεῖς ἄνθρωποι μόνον, οὐδὲ ἥμε-
« ροι καὶ χρηστοί, ἀλλὰ καὶ ἄγριοι καὶ ἀπάνθρωποι,
« καὶ οἷόν τινες λύκοι καὶ λέοντες καὶ ταῦροι κατὰ τὸν
« τρόπον, ἔμελλον συναγελάζεσθαι αὐτοῖς, καὶ πάν-
« τες Ἐκκλησία γενέσθαι μία, ἄκουσον,
« πῶς τὸ ποικίλον τῆς ἀγέλης ταύτης ὁ προφήτης
« (Ἠσ. ΙΑ', 6) ἐδήλωσεν εἰπών—Τότε συμβοσκηθή-
« σεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύ-
« σεται ἐρίφῳ, κ. τ. λ.—Ὅτι δὲ πάντα τὰ ἔθνη ὑπὸ ἕνα
« ἄγεται ζυγόν, καὶ ἄλλος προφήτης (Σοφον. Γ', 9 καὶ
« Β', 11) δηλῶν ἔλεγε—Καὶ δουλεύσουσιν αὐτῷ ὑπὸ
« ζυγὸν ἕνα, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ
« τόπου αὐτοῦ".—Ὡραιοτάτη δέ ἐστιν ἡ παραβολή,
ἣν ποιεῖται ἐν τῷ Β' Λόγῳ "εἰς τὴν ἐπιγραφὴν τῶν
Πράξεων τῶν Ἀποστόλων", ἔνθα πάλιν ἐμφαίνεται ἡ
ἔννοια τοῦ ἐν τῷ Συμβόλῳ λεγομένου, ὅτι τὸ Πνεῦμα
τὸ ἅγιον ἐλάλησε διὰ τῶν προφητῶν εἰς τὴν Ἀποστο-
λικὴν Ἐκκλησίαν, καὶ ὅτι ὑπὸ τῶν προφητῶν καὶ τῶν
Ἀποστόλων ἐθεμελιώθη ἡ τοῦ Χριστοῦ Ἐκκλησία,
ὄντος αὐτοῦ λίθου ἀκρογωνιαίου. Ἄκουσον τὰ με-
λίῤῥυτα ταῦτα τοῦ θεοφόρου Πατρὸς ῥήματα περὶ τῆς
Ἐκκλησίας. "Οὐ γὰρ αἱ Ἀποστολικαὶ μόνον αὐτὴν
« ἐθεμελίωσαν χεῖρες, ἀλλὰ καὶ τοῦ Δεσπότου τῶν
« Ἀποστόλων ἡ ἀπόφασις ἐτείχισεν αὐτὴν καινῷ καὶ
« παραδόξῳ τειχισμοῦ τρόπῳ... Ἐφθέγξατο δύο ῥή-
« ματα ψιλὰ μόνον, καὶ ταῦτα ἤρκεσεν ἀντὶ τείχους

« αὐτῇ, καὶ πύργου καὶ τάφρου καὶ ἀσφαλείας ἁπάσης.
« Καὶ τίνα ἐστὶ τὰ ῥήματα ταῦτα, ἃ τοσαύτην ἔχει τὴν
« ἰσχύν;—Ἐπὶ τῇ πέτρᾳ ταύτῃ οἰκοδομήσω μου τὴν
« Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.
—...Ὁ τοίνυν διὰ ῥήματος τὸν οὐρανὸν στερεώσας,
« τὴν γῆν θεμελιώσας, τὴν θάλασσαν περιφράξας, τί
« θαυμάζεις, εἰ τὴν οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης
« τιμιωτέραν Ἐκκλησίαν διὰ τοῦ ῥήματος τούτου πάλιν
« ἐτείχισεν; Ἀλλ' ἐπειδὴ οὕτως ἡ οἰκοδομὴ ἄσειστος,
« οὕτω τὸ τεῖχος ἀῤῥαγές, ἴδωμεν, πῶς κατεβάλλοντο
« οἱ Ἀπόστολοι τοὺς θεμελίους, πόσον βάθος ἔσκαψαν,
« ὥστε ἄσειστον γενέσθαι τὴν οἰκοδομήν. Οὐκ ἔσκα-
« ψαν βάθος· οὐκ ἐδεήθησαν πόνου τοσούτου. Διὰ τί;
« Παλαιὸν εὗρον θεμέλιον καὶ ἀρχαῖον
« τὸν τῶν προφητῶν.[46] Καθάπερ οὖν ἄνθρωπος
« μέλλων οἰκίαν μεγίστην οἰκοδομεῖν, ἐπειδὰν εὕρῃ
« θεμέλιον παλαιὸν καὶ ἰσχυρὸν καὶ ἀῤῥαγῆ, οὐκ ἀνα-
« μοχλεύει τὸν θεμέλιον, οὐ κινεῖ τοὺς λίθους, ἀλλ'
« ἀφεὶς ἑστᾶναι ἀκίνητον, οὕτως ἐπιτίθησι τὴν νέαν καὶ
« πρόσφατον οἰκοδομήν, οὕτω καὶ οἱ Ἀπόστολοι μέλ-
« λοντες τὸ μέγα τοῦτο οἰκοδόμημα οἰκοδομεῖν, τὴν
« πανταχοῦ τῆς οἰκουμένης ἱδρυμένην Ἐκκλησίαν, οὐ
« διέσκαψαν βάθος· ἀλλ' εὑρόντες παλαιὸν θεμέλιον

---

[46] Ἀκουέτωσαν τοῦ Χρυσοστόμου ταῦτα τὰ ῥήματα οἱ ἐν Λονδίνῳ Ἕλ-ληνες Θεολόγοι, καὶ μὴ ἄλλα καὶ ἄλλα φλυαρείτωσαν.

λίαν τοῦ Ἀρείου καὶ Νεστορίου, τοῦ Fleury καὶ τοῦ De-Maistre), καὶ μέχρι νῦν διδάσκει, καὶ διατελέσει διδάσκων, τοὺς βουλομένους συνιέναι. Ἐπειδὴ δὲ ἐν ἀρχῇ τῆς ἐμῆς ἐπιστολῆς ἐξέθηκά σοι καὶ τὴν τοῦ Συμβόλου ὀρθόδοξον ἑρμηνείαν ἐκ τῆς Φωτίου διατριβῆς "περὶ τῶν θρυλλουμένων τοῦ ἐν Ῥώμῃ Ἐπισκόπου πρωτείων", καὶ τὴν ἐν τῇ ἐνθρονιστικῇ αὐτοῦ ἐπιστολῇ ὁμολογίαν τῆς πίστεως, οὐδὲν διαφέρουσαν τῆς τοῦ πατροθείου αὐτοῦ Ταρασίου καὶ τῆς τοῦ Νικηφόρου τοῦ τὸν Ταράσιον διαδεξαμένου, περιττὸν αὖθις τὰ αὐτὰ ἐπαναλαβεῖν. Προσθήσω σοι δὲ μόνον ἐνταῦθα ὅσα ἐν τῷ 185ᵠ Ζητήματι τῶν Ἀμφιλοχίων (σελ. 267—8 τῆς Οἰκονόμου ἐκδόσεως) λέγει συνωδὰ τῷ Χρυσοστόμῳ καὶ τοῖς ἄλλοις θείοις Πατράσι περὶ τῆς συμφωνίας τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, καὶ τῆς ἀμφοτέρων κοινῆς καταγωγῆς ἐκ τοῦ αὐτοῦ Πνεύματος· ἅπερ ἐπιβεβαιοῦσιν ὡς μόνην ὀρθὴν τὴν κατ' αὐτὸν ἑρμηνείαν τοῦ Συμβόλου, περὶ ἧς ἡμῖν ὁ λόγος. " Λέγεται τοίνυν δι' Υἱοῦ τὴν κτίσιν ἐκ μὴ ὄντων ὑπο-
« στῆναι, ἀλλὰ καὶ τῆς Παλαιᾶς ἀνακηρύττεσθαι νο-
« μοθέτην, τῆς θείας πόῤῥωθεν προνοίας ἐπιστομιζού-
« σης τε καὶ πρόῤῥιζον τὴν ἀπόνοιαν ἀνασπώσης τῶν
« εἰς ἀντικειμένας ἀρχὰς δύο τολμώντων τὴν Παλαιὰν
« ἀναφέρειν καὶ τὴν Νέαν. Εἰ γὰρ τὸν Υἱὸν τῆς Ἐκ-
« κλησίας λαμπρῶς ἀνομολογούσης τούς τε παλαιοὺς
« χρησμοὺς ἀποφῆναι, καὶ τῆς Νέας τὸν αὐτὸν εἰσηγη-

« μαστόν, οὐκ εὐθέως μετὰ τοὺς Προφήτας ἦλθον οἱ
« Ἀπόστολοι, ἀλλὰ πολὺς μεταξὺ παρεγένετο χρό-
« νος. Τί δήποτε; Ὅτι οἱ ἄριστοι τῶν οἰκοδόμων
« τοῦτο ποιοῦσιν· ἐπειδὰν καταβάλλωνται θεμέλιον,
« οὐκ εὐθέως ἐπιτιθέασι τὴν οἰκοδομήν, ἵνα μὴ ἁπαλω-
« τέρα καὶ πρόσφατος οὖσα τοῦ θεμελίου ἡ ἐργασία
« ἀδυνατήσῃ τῶν τειχῶν ἐνεγκεῖν τὸ βάρος. Οὕτω
« καὶ ὁ Χριστὸς ἐποίησεν· ἀφεὶς παγῆναι τὸν θεμέλιον
« τῶν Προφητῶν ἐν ταῖς τῶν ἀκουσάντων ψυχαῖς, καὶ
« γενέσθαι βεβαίαν τὴν διδασκαλίαν, ὅτε εἶδεν ἀσει-
« στον οὖσαν τὴν οἰκοδομήν, ὅτε παγέντα τὰ δόγματα
« τὰ ἱερά, ... τότε ἀπέστειλε τοὺς Ἀποστόλους, ἐπὶ τῷ
« θεμελίῳ τῶν Προφητῶν τοὺς τοίχους τῆς Ἐκκλη-
« σίας ἀναστήσοντας. Διὰ τοῦτο οὐκ εἶπεν, οἰκοδο-
« μηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν Προφητῶν, ἀλλ'
« ἐποικοδομηθέντες, ἐπάνω οἰκοδομηθέντες,
« κ. τ. λ., κ. τ. λ." Τούτοις ὅμοια λέγει ὁ θεῖος Πατὴρ

Ἀλλὰ μετὰ τῶν αὐτομάτων τούτων θεολόγων ἐνωτιζέσθω τὰ ῥήματα ταῦτα τοῦ Χρυσοστόμου καὶ ὁ αἱρετικὸν ἀποκαλέσας με Ἀρχιεπίσκοπος Σύρου, διότι μετὰ τοῦ Χρυσοστόμου καὶ τοῦ Φωτίου εἶπον, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Εἴην μὲν ἐγὼ αἱρετικὸς μετὰ τοῦ Χρυσοστόμου καὶ τοῦ Φωτίου! εἴη δέ, εἴ τις βούλοιτο, ὀρθόδοξος μετὰ τοῦ Ἀρείου καὶ Νεστορίου, τοῦ Fleury *καὶ τοῦ* De-Maistre, *καὶ πάσης τῆς ἐν Ἰησουΐταις ἀδελφότητος! Λυποῦμαι (μάρτυς μού ἐστιν ὁ ἐτάζων καρδίας καὶ νεφρούς) ταῦτα γράφων· ἀλλ' ἠδικήθην ἀδικίαν ἀφόρητον παντὶ Χριστιανῷ· χαλεπώτατον δέ, ὡς καὶ ἄλλοθί που ἔλεγον, τὸ ἀδικούμενον δύνασθαι φέρειν.*

εἴδομεν, ὅτι κατ' ἀμφότερα ταῦτα τὰ ἱερώτατα καὶ ἐπισημότατα μαρτύρια οὐδαμῶς ἔξεστι τὸ ῥῆμα τοῦτο ἐννοεῖν. Ἀλλ' ἐγὼ οὔπω νομίζω συμπεπληρωμένην τὴν περὶ τούτου ἔρευναν, ἐὰν μὴ καὶ τοὺς μετὰ Φώτιον ἀκμάσαντας καὶ συγγράψαντας διεξέλθωμεν μέχρι τῆς ὑπὸ τῶν Τούρκων ἁλώσεως τῆς Κωνσταντινουπόλεως. Προβαίνω λοιπὸν εἰς τὴν ἐξέτασιν ταύτην· ὅταν δὲ καταφθάσω εἰς τὸ ἀπαίσιον ἐκεῖνο χρονικὸν σημεῖον τῆς πολιτικῆς ἡμῶν ἱστορίας, τὴν ἅλωσιν λέγω τῆς Κωνσταντινουπόλεως, ἐπιδείξω σοι καὶ τὰ σωζόμενα τοῦ Συμβόλου χειρόγραφα (ὅσα τοὐλάχιστον ἐγὼ εἶδον), μαρτυροῦντα καὶ ταῦτα ὑπὲρ τῆς τοῦ Φωτίου ἑρμηνείας· καὶ οὕτω συμπληρώσω τὸ πρῶτον μέρος τῆς ἐμῆς ἐρεύνης, καὶ μεταβήσομαι εἰς τὸ δεύτερον· διότι ἀπὸ τῆς ἀπαισίου ἐκείνης ἐποχῆς ἤρξατο διαδιδομένη ἐν τῇ Ἀνατολῇ ἡ ἐπίβουλος διδασκαλία τοῦ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω", καθ' ὅσον τοὐλάχιστον ἠδυνήθην ἐγὼ ἀνευρεῖν.

Θεοφύλακτος ὁ Βουλγαρίας Ἀρχιεπίσκοπος.

Αὐτίκα δὴ ὁ δύο περίπου αἰῶνας μετὰ τὸν Φώτιον ἀκμάσας, Θεοφύλακτος ὁ Βουλγαρίας Ἀρχιεπίσκοπος, ἐδίδαξεν ἡμᾶς ἐν τοῖς ἔμπροσθεν (σελ. 30), ὅτι τὸ ῥῆμα "πιστεύω" μόνον εἰς ἔκφρασιν τῆς εἰς Θεὸν πίστεως εὕρηται ἐν τῇ Καινῇ Διαθήκῃ μετὰ Αἰτιατικῆς ἐμπροθέτου συντεταγμένον· ὅπερ σαφῶς δείκνυσιν, ὅτι πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τῆς πίστεως (ἔνθα περὶ κτίσματος ὁ λόγος) οὐ δυνάμεθα τὸ ῥῆμα τοῦτο

γων αὐτοῦ, ὅπου μνημονεύει τῆς Ἐκκλησίας, ἐν τῇ Παλαιᾷ Γραφῇ ἀναζητεῖ αὐτῆς τὴν ἀρχὴν καὶ τὴν εὐγένειαν. "Μὴ ἀπέχου (λέγει) Ἐκκλησίας· οὐδὲν « γὰρ Ἐκκλησίας ἰσχυρότερον. Ἡ ἐλπίς σου ἡ Ἐκ- « κλησία, ἡ σωτηρία σου ἡ Ἐκκλησία, ἡ καταφυγή « σου ἡ Ἐκκλησία. Τοῦ οὐρανοῦ ὑψηλοτέρα ἐστι· τῆς « γῆς πλατυτέρα ἐστίν· οὐδέποτε γηρᾷ, ἀεὶ δὲ ἀκμά- « ζει. Διὰ τοῦτο τὸ στεῤῥὸν αὐτῆς καὶ ἀσάλευτον « δηλοῦσα ἡ Γραφὴ ὄρος αὐτὴν καλεῖ· τὸ ἄφθορον, « αὐτὴν καλεῖ παρθένον· τὸ πολυτελές, βασί- « λισσαν αὐτὴν καλεῖ· τὸ συγγενὲς τὸ πρὸς τὸν « Θεόν, θυγατέρα αὐτὴν καλεῖ· τὸ πολύγονον, « στεῖραν αὐτὴν καλεῖ τίκτουσαν ἑπτά· μυρία ὀνό- « ματα, ἵνα παραστήσῃ αὐτῆς τὴν εὐγένειαν".—Πολλὰ δὲ τοιαῦτα λέγει καὶ ἐν τῇ εἰς τὸν προφήτην Ἠσαΐαν ἑρμηνείᾳ, καὶ ἰδίως ἐν τῷ ἑρμηνεύειν τὸ τοῦ Προφήτου· "ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου". Ἀλλ' οὕτως ἐγκωμιάζων πανταχοῦ τῶν Λόγων αὐτοῦ καὶ γεραίρων τὴν Ἐκκλησίαν, οὐδαμοῦ λέγει, ὡς οἱ καθ' ἡμᾶς θεολόγοι, "πίστευε εἰς τὴν Ἐκκλησίαν". Καὶ πῶς ἠδύνατο τοιοῦτό τι παρὰ τὴν ἐν Νικαίᾳ πίστιν εἰπεῖν ὁ τὴν πίστιν ἐκείνην τεῖχος ἀῤῥαγὲς ἀποκαλέσας, καὶ προϊὸν σοφίας, δι' ἣν ἐγκωμιάζει τοὺς ταύτην παραδόντας Πατέρας; "Ὅτι δὲ « (λέγει ἐν τῷ Γ' κατὰ Ἰουδαίων Λόγῳ) καὶ σοφίαν « πολλὴν καὶ ἀνδρίαν ἐπεδείξαντο τότε, τὰ γεγενημένα

« ἅπαντα δηλοῖ. Τὴν μὲν γὰρ σοφίαν αὐτῶν δείκνυσιν
« ἡ τότε ἐκτεθεῖσα πίστις, καὶ τὰ τῶν αἱρετικῶν ἐμ-
« φράξασα στόματα, καὶ καθάπερ τεῖχος ἀῤῥαγὲς τὰς
« ἐπιβουλὰς αὐτῶν ἀποκρουσαμένη πάσας· τὴν δὲ ἀν-
« δρίαν ὁ προσφάτως παυσάμενος διωγμὸς καὶ τῶν
« Ἐκκλησιῶν ὁ πόλεμος, κ. τ. λ." Πῶς ἠδύνατο διδά-
σκειν ἡμᾶς πιστεύειν εἰς τὴν Ἐκκλησίαν ὁ ἐν τῇ
θείᾳ αὐτοῦ Λειτουργίᾳ μετὰ τῶν κτισμάτων, ὡς
εἰκός, καταλέξας τὴν Ἐκκλησίαν, ὡς ἐν τοῖς ἔμ-
προσθεν (σελ. 32) ἐλέγομεν; Ἀλλ' ἀρκοῦσι, νο-
μίζω, τὰ ὀλίγα ταῦτα ἐκ τῶν πολλῶν, ὅσα τις ἔχει
ἀρύσασθαι μαρτύρια ἐκ πάντων σχεδὸν τῶν Λόγων
τοῦ μεγίστου τούτου τῆς Ἐκκλησίας φωστῆρος, ἵν'
ἀποδείξῃ, ὅτι ἀσεβές ἐστι καὶ παράλογον τὸ ἐννοεῖν
πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω".

Κύριλλος ὁ Ἀλεξανδρείας.

Μεταβῶμεν νῦν εἰς τὸν Ἀλεξανδρείας Κύριλλον,
ἄλλον τοῦτον τῆς Ἐκκλησίας μεγαλόφωνον κήρυκα,
οὐχ ἧττον τοῦ Χρυσοστόμου πολυγράφον (διότι πάμ-
πολλα συνέγραψεν ἑρμηνευτικὰ καὶ παραινετικά, Λό-
γους τε πανηγυρικοὺς καὶ ἐπιστολάς, ὧν τινές εἰσι
πραγματεῖαι, οὕτως εἰπεῖν, διὰ τὸ μῆκος αὐτῶν καὶ
τὴν ἀποδεικτικὴν δεινότητα), καὶ τῆς ἐν Νικαίᾳ πίστεως
στεῤῥότατον πρόμαχον, ἀποθανόντα τὸ 444, τουτέστι
37 ἔτη μετὰ τὸν Χρυσόστομον, καὶ 63 μετὰ τὴν Β'
οἰκουμενικὴν Σύνοδον. Πλεῖστα ὅσα ἔχει τις συναγα-
γεῖν μαρτύρια καὶ ἐκ τῶν συγγραμμάτων τοῦ μεγάλου

τούτου τῆς Ἐκκλησίας Πατρός, καὶ μαλιστα ἐκ τῶν ἐπιστολῶν αὐτοῦ, ὅσας ἔγραψε πρὸ τῆς ἐν Ἐφέσῳ Συνόδου καὶ μετὰ τὸ πέρας αὐτῆς, ἧς ὑπῆρχε προεξάρχων κατὰ Νεστορίου τοῦ δυσσεβοῦς, τοῦ ἐν τῇ Συνόδῳ ταύτῃ καταχριθέντος καὶ ἀναθεματισθέντος. Πάντων δὲ σαφέστατα ὅσα μετὰ τὸ πέρας τῆς Συνόδου ἔγραψεν, ἵνα δείξῃ τὴν ἀσάλευτον τοῦ Συμβόλου τῆς Νικαίας ἰσχύν, καὶ τὴν ἁπάσης τῆς Ἐκκλησίας ἀποδοκιμασίαν παντὸς ἄλλου, πρὸς ἐκεῖνο ἀντιβαίνοντος. Ὅτε ὁ Ἀντιοχείας Ἰωάννης (ὃς ἦν θερμότατος τοῦ Νεστορίου προστάτης, καί, τριάκοντα ἑτέρους Ἐπισκόπους ἔχων ὁμοφρονοῦντας καὶ συνεργοῦντας αὐτῷ, ἄλλην συνέστησε Σύνοδον κατὰ τῶν ἐν Ἐφέσῳ συνελθόντων) μετανοήσας τέλος πάντων μετὰ τὸ πέρας τῆς Συνόδου καὶ τὴν ὑπὸ τοῦ αὐτοκράτορος κύρωσιν τῶν πράξεων αὐτῆς, ἔγραψε πρὸς τὸν Κύριλλον, τὴν ἑαυτοῦ μετάνοιαν ὁμολογῶν, καὶ τοῖς δεδογμένοις τῇ Συνόδῳ συντιθέμενος, ὁ Κύριλλος ἀντέγραψε πρὸς αὐτὸν τὴν θαυμαστὴν ἐκείνην ἐπιστολήν, ἐν ᾗ ἀρχόμενος λέγει·
« Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ·
« λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ πέ-
« παυται τὸ λυποῦν, καὶ διχονοίας ἁπάσης ἀνῄρηται
« τρόπος, τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ ταῖς
« ἑαυτοῦ Ἐκκλησίαις τὴν εἰρήνην βραβεύσαντος, κ.τ.λ."
Ἐν τέλει δὲ λέγει πρὸς αὐτὸν τάδε. " Καὶ κατ' οὐδ-
« ένα τρόπον σαλεύεσθαι πρός τινων ἀνεχόμεθα τὴν

« ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως Σύμβολον,
« παρὰ τῶν ἁγίων ἡμῶν Πατέρων, τῶν ἐν Νικαίᾳ
« συνελθόντων κατὰ καιρούς· οὔτε μὴν ἐπιτρέπομεν
« ἑαυτοῖς ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων
« ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν,
« μεμνημένοι τοῦ λέγοντος· μὴ μέταιρε ὅρια αἰώνια,
« ἃ ἔθεντο οἱ πατέρες σου· οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λα-
« λοῦντες, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός,
« κ. τ. λ." Αὐτὸ δὲ τοῦτο τὸ Σύμβολον τῆς Νικαίας
διὰ μακρῶν ἑρμηνεύων ὁ θεῖος Πατὴρ ἐν ἑτέρᾳ αὐτοῦ
ἐπιστολῇ πρὸς τοὺς ἐν Αἰγύπτῳ μοναχούς, λέγει· "ἃ
« καὶ διὰ Πνεύματος ἁγίου παρέδοσαν ἡμῖν οἱ ἀπ'
« ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου·
« ὧν τοῖς ἴχνεσιν ἀκολουθεῖν ἐσπούδασαν καὶ οἱ πανεύ-
« φημοι Πατέρες ἡμῶν, οἱ τὸ σεπτὸν καὶ οἰκουμενικὸν
« τῆς πίστεως ὁρισάμενοι Σύμβολον, ἐν τῇ Νικαέων
« συναγηγερμένοι κατὰ καιρούς· οἷς δὴ καὶ αὐτὸς
« σύνεδρος ἦν ὁ Χριστός... Τὴν τοίνυν ἐκτεθεῖσαν
« παρ' ἐκείνων καὶ ὁρισθεῖσαν πίστιν τετηρήκασιν
« ἀδιαβλήτως καὶ οἱ μετ' αὐτοὺς γεγονότες ἅγιοι Πα-
« τέρες, καὶ ποιμένες λαῶν καὶ φωστῆρες Ἐκκλησιῶν
« καὶ εὐτεχνέστατοι μυσταγωγοί· ἐλλελοιπὸς δὲ ὅλως
« οὐδέν, ἤγουν παρεωραμένον τῶν ἀναγκαίων εἰς ὄνη-
« σιν, κατίδοι τις ἂν ἐν ταῖς τῶν Πατέρων ὁμολογίαις
« ἤγουν ἐκθέσεσιν, εἰς ἔλεγχον μὲν καὶ ἀνατροπὴν
« αἱρέσεως ἁπάσης καὶ δυσσεβοῦς ἀθυροστομίας, εἰς

« βεβαίωσιν δὲ καὶ ἀσφάλειαν τοῖς ὀρθοποδοῦσι περὶ « τὴν πίστιν".[49] Γράφων δὲ πρὸς Ἀκάκιον τὸν Ἐπίσκοπον Μελιτηνῆς, μεμψάμενον αὐτὸν δι' ἐπιστολῆς, ὅτι συνέθετο τοῖς Ἀνατολικοῖς, τουτέστι τοῖς περὶ Ἰωάννην τὸν Ἀντιοχείας, λέγει πρὸς τοῖς ἄλλοις καὶ τάδε. "...Μανθάνω δέ, ὅτι κἀκεῖνό φασιν, ὅτι πί« στεως ἔκθεσιν, ἤτοι Σύμβολον καινόν, ἀρτίως κατ« εδεξάμεθα, τάχα που τὸ ἀρχαῖον ἐκεῖνο καὶ σεπτὸν « ἀτιμάσαντες. Καὶ—ὁ μὲν μωρὸς μωρὰ λαλήσει, « καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει·—πλὴν ἐκεῖνό φα« μεν· οὐ πίστεως ἔκθεσιν ἐξήτηνται παρ' ἡμῶν τινες, « ἢ γοῦν καινοτομηθεῖσαν παρ' ἑτέρων κατεδεξάμεθα. « Ἀπόχρη γὰρ ἡμῖν ἡ θεόπνευστος Γραφή, καὶ τῶν « ἁγίων Πατέρων ἡ νῆψις, καὶ τὸ πρὸς τὸ πανοτιοῦν

---

[49] Ἐνταῦθα ἐρωτήσω τοὺς τὰς Κατηχήσεις Κυρίλλου τοῦ Ἱεροσολύμων καὶ τὸ ἐν αὐταῖς ἑρμηνευόμενον Σύμβολον προβαλλομένους εἰς ἀπόδειξιν τοῦ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω", πῶς συμβιβάζουσι τοὺς λόγους τούτους τοῦ θείου Κυρίλλου τοῦ Ἀλεξανδρείας πρός τὰς Κατηχήσεις ἐκείνας καὶ πρὸς τὸ Σύμβολον ἐκεῖνο; Εὑρίσκουσιν οἱ ἄνδρες ἐν ταῖς Κατηχήσεσιν ἐκείναις καὶ ἐν τῷ Συμβόλῳ ἐκείνῳ "ἐλλελοιπὸς ὅλως οὐδέν, ἤγουν παρεωραμένον τῶν ἀναγκαίων εἰς ὄνησιν", ὡς ὁ Ἀλεξανδρείας διαβεβαιοῦται Κύριλλος περὶ τῶν ὁμολογιῶν καὶ τῶν ἐκθέσεων τῶν τῆς Ἐκκλησίας Πατέρων, τῶν ἀληθῶν ποιμένων καὶ φωστήρων τῶν Ἐκκλησιῶν; Τίς ποτε τῶν Πατέρων καὶ ποιμένων τῆς Ἐκκλησίας ἔδωκε τὴν ὁμολογίαν ἢ τὴν ἔκθεσιν τῆς πίστεως αὐτοῦ ἔρημον τοῦ ὅρου "ὁμοούσιος", ὃν αἱ λεγόμεναι Κατηχήσεις τοῦ Κυρίλλου ἀποσκορακίζουσι; Τίς ἄλλος ἢ ὁ Ἄρειος; Ἀποκριθήτωσαν, παρακαλῶ, πρὸς τὴν ἁπλουστάτην ταύτην ἐρώτησίν μου, ἐν βάρει τῆς ἑαυτῶν συνειδήσεως τοὺς τοῦ Ἀλεξανδρείας Κυρίλλου λόγους πρὸς τὰς Κατηχήσεις καὶ τὸ Σύμβολον τοῦ Ἱεροσολύμων Κυρίλλου ἀντισταθμίζοντες.

« τῶν ἐχόντων ὀρθῶς ἐκτετορνευμένον τῆς πίστεως
« Σύμβολον... Ἡ μὲν γὰρ ἁγία καὶ οἰκουμενικὴ Σύν-
« οδος, ἡ κατὰ τὴν Ἐφεσίων πόλιν συνειλεγμένη,
« προενόησεν ἀναγκαίως τοῦ μὴ δεῖν ταῖς Ἐκκλησίαις
« τοῦ Θεοῦ πίστεως ἔκθεσιν ἑτέραν εἰσκρίνεσθαι παρά
« γε τὴν οὖσαν· ἣν οἱ τρισμακάριοι Πατέρες ἐν ἁγίῳ
« Πνεύματι λαλοῦντες ὡρίσαντο”.[50]

Θεοδώρητος ὁ Κύρου.

Ἀπὸ τοῦ Ἀλεξανδρείας Κυρίλλου μεταβῶμεν εἰς τὸν σύγχρονον αὐτῷ Θεοδώρητον τὸν Κύρου Ἐπίσκοπον, ἀποθανόντα περὶ τὸ 450. Ἐμνημόνευσα τοῦ Θεοδωρήτου τούτου καὶ ἐν τοῖς ἔμπροσθεν, ὡς συγγραφέως τῆς Ἐκκλησιαστικῆς Ἱστορίας, ἐν ᾗ τὰ περὶ τῆς ἐν Κωνσταντινουπόλει Β′ οἰκουμενικῆς Συνόδου ἱστοροῦνται ἀκριβέστερον κατὰ τὴν περὶ τούτου κρίσιν τοῦ κριτικωτάτου Φωτίου ἐν τῇ Μυριοβίβλῳ, ἔνθα πολλάκις μνημονεύει αὐτοῦ μετὰ πολλῶν ἐπαίνων. Συνέγραψε δὲ ἐκτὸς τῆς Ἱστορίας καὶ ἄλλα πολλά, ἑρμηνευτικά τε καὶ ἀντιῤῥητικά, ἐν οἷς τὸ ἐπιγραφό-

---

[50] Τούτων δ' οὕτως ἐχόντων, οὐ προφανής ἐστι καταφρόνησις τῶν ὑπὸ τῆς ἐν Ἐφέσῳ Συνόδου διατεταγμένων τὸ διδάσκειν ἀντὶ τῆς ἐν Νικαίᾳ πίστεως τὴν ἐν ταῖς Ἀρειαναῖς τοῦ Ἱεροσολύμων Κυρίλλου λεγομέναις κατηχήσεσιν ἑρμηνευομένην πίστιν; Ἀποκρινέσθωσαν πρὸς ταῦτα οἱ τῆς Ἀρειανῆς ταύτης πίστεως θερμότατοι ὑπέρμαχοι, καὶ μάλιστα πάντων ὁ Σεβασμιώτατος Ἀρχιεπίσκοπος Σύρου, ὃς ἔγραφέ μοι (ἴδε τὴν ἐπιστολὴν αὐτοῦ ἐν τῷ ἐπιλόγῳ τῆσδε τῆς διατριβῆς παρατιθεμένην), ὅτι καὶ ὁ Ἱεροσολύμων Κύριλλος μαρτυρεῖ ὑπὲρ τῶν λέγοντων, ὅτι ἐννοητέον ἐστὶ πρὸ τοῦ Θ′ ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα “πιστεύω”.

μενον "Ἑλληνικῶν παθημάτων θεραπευτική" ἀναντιῤῥήτως ἐστὶ τὸ ἄριστον, μεγάλην τὴν τοῦ συγγράψαντος αὐτὸ πολυμάθειαν μαρτυροῦν, καὶ λόγου ὕφος ἀνθηρὸν ἐπιδεικνύμενον. Ἄκουσον δὴ καὶ τούτου τὴν τῆς Παλαιᾶς Γραφῆς διδασκαλίαν συνημμένην οὖσαν τῇ ἐν Εὐαγγελίοις ἀποδεικνύοντος, καὶ οἷον μετὰ τοῦ Χρυσοστόμου λέγοντος, ὅτι "τοῦ αὐτοῦ Πνεύματός ἐστιν ἡ Καινὴ καὶ ἡ Παλαιά, καὶ τὸ αὐτὸ Πνεῦμα τὸ ἐν ἐκείνῃ φθεγξάμενον καὶ ἐν ταύτῃ ἐλάλησε". "Ταῦτα « καὶ τὰ τούτοις προσόμοια (λέγει ἐν βιβλ. ΣΤ', § 88) « τῆς τοῦ Σωτῆρος ἡμῶν οἰκονομίας τὸ θεοπρεπὲς « ἐπιδείκνυσι· μαρτυροῦσι δὲ καὶ αἱ πάλαι προφητεῖαι « τοῖς Εὐαγγελίοις ἀλήθειαν· αἱ μὲν γὰρ τὴν τούτων « ἔχουσι πρόῤῥησιν, τὰ δὲ τῆς προῤῥήσεως ἐπιδεικνύει « τὸ τέλος. Καὶ οἱ μὲν προεῖπον τῆς παρθένου τὴν « γέννησιν, οἱ δὲ διδάσκουσι τὴν τῆς προφητείας ἀλή- « θειαν· οἱ μὲν προεθέσπισαν τὸν σταυρόν, οἱ δὲ δεικνύ- « ουσι τὸν σταυρόν· οἱ μὲν προεῖπον τὰ παθήματα, οἱ « δὲ ἱστοροῦσι τὰ θαύματα· οἱ μὲν ἐχρησμῴδησαν τῆς « οἰκουμένης τὴν σωτηρίαν, ἡμεῖς δὲ τῶν χρησμῶν « ἐκείνων θεωροῦμεν τὸ τέλος· ἐκεῖνοι τὴν Ἰουδαίων « καὶ ἀπιστίαν καὶ πανωλεθρίαν προαπήγγειλαν, ἡμεῖς « δὲ αὐτῶν καὶ τὴν ἀπιστίαν καὶ τὴν διασπορὰν καὶ τὴν « δουλείαν ὁρῶμεν· κ.τ.λ." Ἐν δὲ τῷ Ι' βιβλίῳ (§ 50) τὸ τοῦ προφήτου Ἠσαίου παρατιθέμενος—"ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος

λίαν τοῦ Ἀρείου καὶ Νεστορίου, τοῦ Fleury καὶ τοῦ De-Maistre), καὶ μέχρι νῦν διδάσκει, καὶ διατελέσει διδάσκων, τοὺς βουλομένους συνιέναι. Ἐπειδὴ δὲ ἐν ἀρχῇ τῆς ἐμῆς ἐπιστολῆς ἐξέθηκά σοι καὶ τὴν τοῦ Συμβόλου ὀρθόδοξον ἑρμηνείαν ἐκ τῆς Φωτίου διατριβῆς "περὶ τῶν θρυλλουμένων τοῦ ἐν Ῥώμῃ Ἐπισκόπου πρωτείων", καὶ τὴν ἐν τῇ ἐνθρονιστικῇ αὐτοῦ ἐπιστολῇ ὁμολογίαν τῆς πίστεως, οὐδὲν διαφέρουσαν τῆς τοῦ πατροθείου αὐτοῦ Ταρασίου καὶ τῆς τοῦ Νικηφόρου τοῦ τὸν Ταράσιον διαδεξαμένου, περιττὸν αὖθις τὰ αὐτὰ ἐπαναλαβεῖν. Προσθήσω σοι δὲ μόνον ἐνταῦθα ὅσα ἐν τῷ 185ῳ Ζητήματι τῶν Ἀμφιλοχίων (σελ. 267—8 τῆς Οἰκονόμου ἐκδόσεως) λέγει συνῳδὰ τῷ Χρυσοστόμῳ καὶ τοῖς ἄλλοις θείοις Πατράσι περὶ τῆς συμφωνίας τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, καὶ τῆς ἀμφοτέρων κοινῆς καταγωγῆς ἐκ τοῦ αὐτοῦ Πνεύματος· ἅπερ ἐπιβεβαιοῦσιν ὡς μόνην ὀρθὴν τὴν κατ' αὐτὸν ἑρμηνείαν τοῦ Συμβόλου, περὶ ἧς ἡμῖν ὁ λόγος. "Λέγεται τοίνυν δι' Υἱοῦ τὴν κτίσιν ἐκ μὴ ὄντων ὑπο-
« στῆναι, ἀλλὰ καὶ τῆς Παλαιᾶς ἀνακηρύττεσθαι νο-
« μοθέτην, τῆς θείας πόῤῥωθεν προνοίας ἐπιστομιζού-
« σης τε καὶ πρόῤῥιζον τὴν ἀπόνοιαν ἀνασπώσης τῶν
« εἰς ἀντικειμένας ἀρχὰς δύο τολμώντων τὴν Παλαιὰν
« ἀναφέρειν καὶ τὴν Νέαν. Εἰ γὰρ τὸν Υἱὸν τῆς Ἐκ-
« κλησίας λαμπρῶς ἀνομολογούσης τούς τε παλαιοὺς
« χρησμοὺς ἀποφῆναι, καὶ τῆς Νέας τὸν αὐτὸν εἰσηγη-

Ἰωάννης δὲ ὁ Δαμασκηνός, ὁ ἐν τῇ ὀγδόῃ ἑκατονταετηρίδι ἐπὶ Λέοντος τοῦ Ἰσαύρου καὶ Κωνσταντίνου τοῦ Ζ΄ ἀκμάσας, οὗ καὶ ἐν τοῖς ἔμπροσθεν (σελ. 66) ἐμνημόνευσα, ἐν τῇ ἐκθέσει τῆς ὀρθοδόξου πίστεως (βιβλ. Γ΄, κεφ. Ι΄ ἐν τέλει) τὴν ὑπὸ Πέτρου τοῦ Κναφέως ἢ Γναφέως γενομένην προσθήκην ἐν τῷ Τρισαγίῳ ὕμνῳ κατακρίνων (ἔλεγε γὰρ ὁ Πέτρος οὗτος "ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς", ὃ δὴ καὶ παρέμεινε μέχρι νῦν ἐν τῇ τῶν Ἀρμενίων Ἐκκλησίᾳ) ἐπιβοᾷ· « Ἄπαγε ταύτην τὴν βλάσφημον καὶ παρέγγραπτον « φλυαρίαν... Γέλως οὖν ὄντως καὶ παίγνιον, τὴν δι' « ἀγγέλων μυηθεῖσαν, καὶ τῇ τῆς ἐπαγωγῆς λέξει « πιστωθεῖσαν, καὶ τῇ τοσῶνδε ἁγίων Πατέρων Συνόδῳ « (τῇ ἐν Χαλκηδόνι δηλονότι) κυρωθεῖσάν τε καὶ βε- « βαιωθεῖσαν, καὶ πρότερον ὑπὸ τῶν Σεραφεὶμ ὑμνη- « θεῖσαν τρισάγιον ᾠδήν, ὡς τῆς τρισυποστάτου θεό- « τητος ἐμφαντικήν, τῇ τοῦ κναφέως οἷον καταπατη- « θῆναι ἀλόγῳ οἰήσει, καὶ δῆθεν διορθωθῆναι, ὡς τῶν « Σεραφεὶμ ὑπερβάλλοντος. Ἀλλ' ὢ τῆς αὐθαδείας, « ἵνα μὴ λέγω τῆς ἀνοίας! Ἡμεῖς δὲ καὶ οὕτω « φαμέν, Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος « ἀθάνατος, ἐλέησον ἡμᾶς." Ἐν δὲ τῷ κατὰ Νεστοριανῶν Λόγῳ αὐτοῦ (§ λδ΄) λέγει. "Ἐώσθη τοίνυν « καθ' ὑμᾶς ὁ φύσει Υἱός, καὶ εἰσκεκόμισται ὁ υἱοθετη- « θείς· ἢ εἰς Τετράδα ὑμεῖς ἐβαπτίσθητε· οὐ γὰρ « ἡμεῖς· μὴ γένοιτο· ἡμεῖς γὰρ βεβαπτίσμεθα εἰς τὸ

Ἰωάννης ὁ Δαμασκηνός.

εἴδομεν, ὅτι κατ' ἀμφότερα ταῦτα τὰ ἱερώτατα καὶ ἐπισημότατα μαρτύρια οὐδαμῶς ἔξεστι τὸ ῥῆμα τοῦτο ἐννοεῖν. Ἀλλ' ἐγὼ οὔπω νομίζω συμπεπληρωμένην τὴν περὶ τούτου ἔρευναν, ἐὰν μὴ καὶ τοὺς μετὰ Φώτιον ἀκμάσαντας καὶ συγγράψαντας διεξέλθωμεν μέχρι τῆς ὑπὸ τῶν Τούρκων ἁλώσεως τῆς Κωνσταντινουπόλεως. Προβαίνω λοιπὸν εἰς τὴν ἐξέτασιν ταύτην· ὅταν δὲ καταφθάσω εἰς τὸ ἀπαίσιον ἐκεῖνο χρονικὸν σημεῖον τῆς πολιτικῆς ἡμῶν ἱστορίας, τὴν ἅλωσιν λέγω τῆς Κωνσταντινουπόλεως, ἐπιδείξω σοι καὶ τὰ σωζόμενα τοῦ Συμβόλου χειρόγραφα (ὅσα τοὐλάχιστον ἐγὼ εἶδον), μαρτυροῦντα καὶ ταῦτα ὑπὲρ τῆς τοῦ Φωτίου ἑρμηνείας· καὶ οὕτω συμπληρώσω τὸ πρῶτον μέρος τῆς ἐμῆς ἐρεύνης, καὶ μεταβήσομαι εἰς τὸ δεύτερον· διότι ἀπὸ τῆς ἀπαισίου ἐκείνης ἐποχῆς ἤρξατο διαδιδομένη ἐν τῇ Ἀνατολῇ ἡ ἐπίβουλος διδασκαλία τοῦ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω", καθ' ὅσον τοὐλάχιστον ἠδυνήθην ἐγὼ ἀνευρεῖν.

Θεοφύλακτος ὁ Βουλγαρίας Ἀρχιεπίσκοπος.

Αὐτίκα δὴ ὁ δύο περίπου αἰῶνας μετὰ τὸν Φώτιον ἀκμάσας, Θεοφύλακτος ὁ Βουλγαρίας Ἀρχιεπίσκοπος, ἐδίδαξεν ἡμᾶς ἐν τοῖς ἔμπροσθεν (σελ. 30), ὅτι τὸ ῥῆμα "πιστεύω" μόνον εἰς ἔκφρασιν τῆς εἰς Θεὸν πίστεως εὕρηται ἐν τῇ Καινῇ Διαθήκῃ μετὰ Αἰτιατικῆς ἐμπροθέτου συντεταγμένον· ὅπερ σαφῶς δείκνυσιν, ὅτι πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τῆς πίστεως (ἔνθα περὶ κτίσματος ὁ λόγος) οὐ δυνάμεθα τὸ ῥῆμα τοῦτο

Θεόδωρος ὁ Στουδίτης.

Ὁ δὲ ἀμέσως μετὰ τὸν Δαμασκηνὸν ἀκμάσας Θεόδωρος ὁ Στουδίτης ἐν τέλει τοῦ πονήματος αὐτοῦ τοῦ ἐπιγραφομένου "Ἔλεγχος καὶ ἀνατροπὴ τῶν ἀσεβῶν ποιημάτων" διαῤῥήδην λέγει περὶ τῶν Συνόδων καὶ τοῦ Συμβόλου· "Αἱ Σύνοδοι, αἵ τε οἰκουμενικαὶ αἵ τε « τοπικαί, ὀρθόδοξοι· τοσαῦται μέν εἰσι τῷ ἀριθμῷ, « ὁπόσαι καὶ εἶεν· μία δὲ πᾶσαι τῷ θείῳ φρονήματι, « ὡς καὶ ἓν τὸ τῆς πίστεως Σύμβολον, ἐν « τῇ πρώτῃ δυνάμει θεωρούμεναι, κατὰ « καιρὸν δὲ πρὸς τὰς ἐπανισταμένας αἱρέσεις δηλον- « ότι προϊοῦσαι, καὶ ποικιλλόμεναι μὲν τῇ ἀντεξα- « γωγῇ τοῦ πονηροῦ φρονήματος, μένουσαι δὲ ἐν τῷ « αὐτῷ ὀρθοδόξῳ δόγματι, κ. τ. λ." Πρὸς δὲ τοὺς αὐτοκράτορας Μιχαὴλ καὶ Θεόφιλον γράφων ἔλεγε· « Πιστεύομεν εἰς ἕνα Θεόν, τὸν ἐν Πατρί τε καὶ Υἱῷ « καὶ Πνεύματι ἁγίῳ προσκυνούμενον καὶ συνδοξαζό- « μενον, τὴν πολυύμνητον παντουργὸν καὶ ἀρχικὴν « Τριάδα, κατὰ τὸ ὑπὸ τῶν ἁγίων τριακο- « σίων δέκα καὶ ὀκτὼ Πατέρων παραδοθὲν

Ῥώμῃ. Ἀλλ' εὐτυχῶς ἀνεφάνησαν ἐν ταῖς ἡμέραις ἡμῶν οἱ διορθοῦντες τὴν τοῦ Δαμασκηνοῦ ἀμάθειαν (!!!), καὶ διδάσκοντες ἡμᾶς προσέχειν εἰς τὴν ὀρθοδοξίαν τοῦ Fleury καὶ τοῦ De-Maistre, καταφρονεῖν δὲ τοῦ ἄκρου θεολόγου καὶ φιλοσόφου Δαμασκηνοῦ. Καὶ ἡμεῖς ὀφείλομεν αὐτοῖς ὑπακούειν· οὗτοι γάρ εἰσιν οἱ καθ' ἡμᾶς ὀρθοτομοῦντες τὸν λόγον τῆς τοῦ Χριστοῦ ἀληθείας· καὶ ἐάν τι εἴπωμεν ἀπαρέσκον τῇ σοφίᾳ αὐτῶν, εὐθὺς κηρυττόμεθα αἱρετικοί !

« ἡμῖν θεόπνευστον Σύμβολον·[54] δι' οὗ πᾶσα
« αἵρεσις ἐκκέκρουσται, καὶ παρ' οὗ πᾶσα ἁγία Σύνοδος
« ἤρτηται, οἷά περ ἀπὸ ῥίζης κλάδοι, καὶ ἀπὸ πηγῆς
« ποταμοί. Ἐντεῦθεν γὰρ ἡ δευτέρα τὴν κυρίαν φωνὴν
« τοῦ Πνεύματος ἐτράνωσεν·[55] εἶτα ἡ τρίτη τὴν

---

[54] Ταῦτα ἔγραφεν ὁ Στουδίτης Μοναχὸς τέσσαρας ὅλους αἰῶνας μετὰ τὴν ἐν Κωνσταντινουπόλει Β′ οἰκουμενικὴν Σύνοδον· ἀλλ' ὅμως ἓν μόνον γινώσκει Σύμβολον, τὸ ἐν Νικαίᾳ συνταχθέν. Ἠγνόει ἄρα, ὅτι τὸ Σύμβολον τῆς Νικαίας ἐπηυξήθη διὰ προσθηκῶν ἐν τῇ Β′ Συνόδῳ, καὶ ὅτι δευτέρα τις δευτέρας τάξεως πίστις προσετέθη ἐν αὐτῷ; Οὐκ ἀπήγγελλεν αὐτὸς τὸ Σύμβολον τοῦτο καθ' ἑκάστην ἡμέραν, οἷον ἐν Κωνσταντινουπόλει συνεπληρώθη; Διὰ τί λοιπὸν ἓν μόνον ὁμολογεῖ γινώσκειν Σύμβολον, τὸ τῆς Νικαίας; Δι' οὐδὲν ἄλλο πάντως, ἢ διότι τὸ Σύμβολον, ἀναγινωσκόμενον οἷον ἐν Κωνσταντινουπόλει ἐπηυξήθη, οὐδαμῶς διέφερε τοῦ ἐν Νικαίᾳ, οὐδαμῶς μετεβλήθη· καὶ διὰ τοῦτο πάντοτε ἔφερε, καὶ μέχρι νῦν φέρει, τὸ πρῶτον αὐτοῦ ὄνομα, Σύμβολον τῆς ἐν Νικαίᾳ Συνόδου. Τούτων δὲ οὕτως ἐχόντων (ἄλλως δ' ἔχειν ἀδύνατον), ποῦ τοῦ Συμβόλου τῆς ἐν Νικαίᾳ Συνόδου διδάσκεται τὸ πιστεύειν εἰς τὴν Ἐκκλησίαν, ἢ ἁπλῶς μνημονεύεται τὸ ὄνομα τῆς Ἐκκλησίας; Ἀποκρινέσθωσαν πρὸς ταῦτα οἱ εὐσεβεῖς μαθηταὶ τοῦ Fleury καὶ τοῦ De-Maistre, ἵνα τι καὶ ἡμεῖς παρ' αὐτῶν διδαχθῶμεν· ἀλλ' ὑγιές τι, ὀρθόδοξόν τι· μὴ φλυαρίας παιδαριώδεις, καὶ παραπομπὰς εἰς το Ἀρειανὸν Σύμβολον τὸ ἐν ταῖς Κατηχήσεσι τοῦ Ἱεροσολύμων Κυρίλλου ἑρμηνευόμενον· διότι ταύτας ἡμεῖς, ὡς ὀρθόδοξοι Χριστιανοί, πιστεύοντες, ὡς ἐβαπτίσθημεν, εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, ἐπιμόνως ἀποδιοπομπεύμεθα, καὶ κτῆμα ταύτας καταλείπομεν ἀναφαίρετον τοῖς ἀσπαζομένοις τὴν τοῦ Ἀρείου καὶ Νεστορίου, τὴν τοῦ Fleury καὶ De-Maistre καὶ ἄλλων τοιούτων πίστιν.

[55] Τοῦτο παρὰ πάντων ὁμολογεῖται ὡς μόνον ἔργον τῆς Β′ οἰκουμενικῆς Συνόδου, ὅτι δηλαδὴ ἀνέπτυξεν ἐν τῷ Συμβόλῳ τὰς τοῦ ἁγίου Πνεύματος ἰδιότητας, οὐδὲν προσθεῖσα οὐδ' ἀφελοῦσα τῶν περὶ πίστεως δογματιζομένων. Ἀλλ' ὅμως οἱ τὸ ῥῆμα "πιστεύω" πρὸ τοῦ Θ′ ἄρθρου ἐννοοῦντες διδάσκουσιν, ὅτι καὶ δευτέρας πίστεως ἐγένετο προσθήκη, ἀλλὰ πίστεως (ἐννοεῖται) δευτέρας τάξεως!

« ἁγίαν Μαρίαν Θεοτόκον ἐκήρυξε, κ. τ. λ.” Καὶ τέλος πάντων τὴν ἰδίαν αὐτοῦ διαθήκην γράφων ὁ σεβάσμιος Μοναχὸς Θεόδωρος λέγει εὐθὺς ἐν ἀρχῇ· “Πιστεύω « τοιγαροῦν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, « τὴν ἁγίαν καὶ ὁμοούσιον καὶ ἀρχικὴν Τριάδα, καθὼς « βεβάπτισμαι καὶ ἀναγεγέννημαι καὶ τετελείωμαι ”.

Ταράσιος καὶ Νικηφόρος οἱ Πατριάρχαι.

Ἕπονται μετὰ τὸν Στουδίτην Μοναχὸν οἱ δύο περιφανεῖς καὶ περιώνυμοι Πατριάρχαι Κωνσταντινουπόλεως, Ταράσιος καὶ Νικηφόρος. Τούτων δὲ τοῦ μὲν πρώτου τὴν ἐνθρονιστικὴν ἐπιστολὴν εἴδομεν πρὸ μικροῦ ἐν οἷς περὶ τῆς Ζ′ οἰκουμενικῆς Συνόδου, ἧς ἐπρυτάνευσε, λόγον ἐποιούμεθα. Τοῦ δὲ δευτέρου ἴδωμεν νῦν τὴν αὐτὴν ἐπιστολήν, σαφέστατα μαρτυροῦσαν ὑπὲρ τοῦ προκειμένου ζητήματος. “Ὁμολογῶ « τοίνυν (λέγει ὁ θεσπέσιος Νικηφόρος) πιστεύειν εἰς « ἕνα Θεόν, Πατέρα παντοκράτορα... καὶ εἰς τὸν Υἱὸν « αὐτοῦ τὸν μονογενῆ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χρι- « στόν... καὶ εἰς τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ ζωαρ- « χικὸν καὶ πανάγιον· Τριάδα ὁμοούσιον, ὑπερούσιον, « κ. τ. λ.” Μετὰ δὲ τὴν ὁμολογίαν ταύτην τῆς πίστεως, διὰ μακρῶν ἐκτιθεὶς καὶ ὁμολογῶν τὰς τοῦ Υἱοῦ ἰδιότητας, ἐπιλέγει· “Μετὰ ταῦτα πιστεύω καὶ « σαρκὸς ἀνάστασιν· ὁμολογῶ καὶ ἓν βάπτισμα εἰς « ἄφεσιν ἁμαρτιῶν, τὸ εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον « Πνεῦμα τελούμενον κατὰ τὴν Εὐαγγελικὴν καὶ θείαν « παράδοσιν. Ταῦτα τῆς ὀρθοδόξου καὶ ἱερᾶς ἡμῶν

ψεν ὁ Γρηγόριος οὗτος ὁμολογίαν πίστεως ὑπὲρ ἑαυτοῦ, οὐδὲν ἄλλο διαφέρουσαν τῆς ἄρτι παρατεθειμένης, ἢ ὅτι γέγραπται ἑνικῶς "πιστεύω" ἀντὶ "πιστεύομεν".

Γρηγόριος ὁ Παλαμᾶς.

Ἐν τῇ ἀμέσως ἑπομένῃ ἑκατονταετηρίδι (1300—1400) ἤκμασεν ὁ περικλεὴς τῆς Θεσσαλονίκης Μητροπολίτης Γρηγόριος ὁ Παλαμᾶς, ὁ στεῤῥῶς ὑπὲρ τῆς ὀρθοδοξίας ἀθλήσας, καὶ τοὺς αἱρετικοὺς Βαρλαὰμ καὶ Ἀκίνδυνον καταβαλών. Οὗτος συνέγραψε πολλὰ ὑπὲρ τῆς ὀρθοδόξου πίστεως, ἐν οἷς καὶ δύο Λόγους κατὰ τῆς ὑπὸ τῶν Λατίνων γενομένης προσθήκης ἐν τῷ Συμβόλῳ, "καὶ ἐκ τοῦ Υἱοῦ". Ἐν δὲ τῇ κατὰ τῆς αἱρέσεως τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου συγκροτηθείσῃ Συνόδῳ ἔγραψεν ὁμολογίαν τῆς ὀρθοδόξου πίστεως, ἐν ᾗ λέγει· "Εἷς Θεὸς πρὸ πάντων, καὶ ἐπὶ πάντων, καὶ « ἐν πᾶσι, καὶ ὑπὲρ τὸ πᾶν, ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ « Πνεύματι παρ' ἡμῶν προσκυνούμενός τε καὶ πιστευό« μενος". Μετὰ δὲ τὴν ἔκθεσιν τῶν ἰδιοτήτων ἑκάστου τῶν τριῶν προσώπων τῆς ἁγίας Τριάδος ἐπιλέγει· "Πάντας δὲ τοὺς μὴ ὁμολογοῦντας καὶ πιστεύ« οντας ὡς τὸ Πνεῦμα τὸ ἅγιον προεμήνυσε διὰ τῶν « Προφητῶν, ὡς ὁ Κύριος ἐθέσπισε διὰ σαρκὸς ἡμῖν « ἐπιφανείς, ὡς οἱ Ἀπόστολοι ἐκήρυξαν πεμφθέντες « ὑπ' αὐτοῦ, ὡς οἱ Πατέρες ἡμῶν καὶ διάδοχοι ἐκείνων « ἐδίδαξαν ἡμᾶς, ἀλλ' αἱρέσεως οἰκείας ἢ ἄρξαντας, « ἢ τοῖς κακῶς ἄρξασιν εἰς τέλος ἐπηκολουθηκότας, « ἀποβαλλόμεθα καὶ ἀναθέματι καθυποβάλλομεν. Δε-

...πρῶτα μὲν τὴν ἐν Νικαίᾳ συνελθοῦσαν τῶν 318
« ἀοιδίμων Πατέρων ἡμῶν Σύνοδον κατὰ τοῦ δυσσεβοῦς
« καὶ μανιώδους Ἀρείου· ὃν τῆς Ἐκκλησίας ἐξώσασα,
« πίστιν ἡμῖν ἀληθῆ καὶ εὐθυτάτην διὰ τοῦ ἱεροῦ καὶ
« θείου Συμβόλου ἐξεφώνησεν... Εἶτα τὴν μετ' αὐτὴν
« ἐν ταύτῃ τῇ βασιλίδι τῶν πόλεων συναθροισθεῖσαν
« τῶν 150 θεοπνεύστων Πατέρων, τὸν ἀνόσιον Πνευ-
« ματομάχον καθελοῦσαν Μακεδόνιον, καὶ τὴν τοῦ ἱε-
« ροῦ Συμβόλου ἔννοιαν ἐξαπλώσασαν, καὶ τοῖς
« τοῦ ἁγίου Πνεύματος λόγοις ἐπιτρανώσασαν...
« Μεθ' ἣν τὴν ἐν Ἐφέσῳ, κ. τ. λ., κ. τ. λ."

Φώτιος ὁ μέγας.

Ἀλλ' ἰδοὺ τέλος πάντων, Θεοῦ συνεπιληφθέντος, κατεφθάσαμεν εἰς τὸ σημεῖον ἐκεῖνο, ἐξ οὗ τὴν ἀρχὴν ὡρμήθημεν, εἰς Φώτιον, λέγω, τὸν μεγαλομάρτυρα τῆς ὀρθοδοξίας πρόμαχον· Φώτιον δ' ὅταν ἀκούῃς, ἅπασαν ἐννόει τὴν τῶν μεγάλων τῆς Ἐκκλησίας Διδασκάλων χορείαν ἐν αὐτῷ συγκεφαλαιουμένην, τῶν τε πρὸ αὐτοῦ καὶ τῶν μετ' αὐτόν· τοὺς μὲν γὰρ πρὸ αὐτοῦ πάντας ἔσχεν αὐτὸς διδασκάλους, καὶ ὡς μεγάλη τις κιβωτὸς πᾶσαν ἐκείνων τὴν ὀρθόδοξον διδασκαλίαν ἐν ἑαυτῷ ἀπεθησαύρισε, καὶ ἅμα τὰς Θείας Γραφὰς ἐπιμελῶς καὶ ἀκριβῶς, εἴπερ τις καὶ ἄλλος, ἡρμήνευσεν (ὡς μαρτυροῦσιν αὐτοῦ τὰ συγγράμματα πάντα, καὶ πάντων μάλιστα τὰ Ἀμφιλόχια καὶ αἱ Ἐπιστολαί), τοὺς δὲ μεθ' ἑαυτὸν ἅπαντας ἐδίδαξε (ἐξαιρουμένων, ἐννοεῖται, τῶν προτιμησάντων τὴν διδασκα-

λίαν τοῦ Ἀρείου καὶ Νεστορίου, τοῦ Fleury καὶ τοῦ De-Maistre), καὶ μέχρι νῦν διδάσκει, καὶ διατελέσει διδάσκων, τοὺς βουλομένους συνιέναι. Ἐπειδὴ δὲ ἐν ἀρχῇ τῆς ἐμῆς ἐπιστολῆς ἐξέθηκά σοι καὶ τὴν τοῦ Συμβόλου ὀρθόδοξον ἑρμηνείαν ἐκ τῆς Φωτίου διατριβῆς "περὶ τῶν θρυλλουμένων τοῦ ἐν Ῥώμῃ Ἐπισκόπου πρωτείων", καὶ τὴν ἐν τῇ ἐνθρονιστικῇ αὐτοῦ ἐπιστολῇ ὁμολογίαν τῆς πίστεως, οὐδὲν διαφέρουσαν τῆς τοῦ πατροθείου αὐτοῦ Ταρασίου καὶ τῆς τοῦ Νικηφόρου τοῦ τὸν Ταράσιον διαδεξαμένου, περιττὸν αὖθις τὰ αὐτὰ ἐπαναλαβεῖν. Προσθήσω σοι δὲ μόνον ἐνταῦθα ὅσα ἐν τῷ 185ᵛ Ζητήματι τῶν Ἀμφιλοχίων (σελ. 267—8 τῆς Οἰκονόμου ἐκδόσεως) λέγει συνῳδὰ τῷ Χρυσοστόμῳ καὶ τοῖς ἄλλοις θείοις Πατράσι περὶ τῆς συμφωνίας τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, καὶ τῆς ἀμφοτέρων κοινῆς καταγωγῆς ἐκ τοῦ αὐτοῦ Πνεύματος· ἅπερ ἐπιβεβαιοῦσιν ὡς μόνην ὀρθὴν τὴν κατ' αὐτὸν ἑρμηνείαν τοῦ Συμβόλου, περὶ ἧς ἡμῖν ὁ λόγος. "Λέγεται τοίνυν δι' Υἱοῦ τὴν κτίσιν ἐκ μὴ ὄντων ὑπο-
« στῆναι, ἀλλὰ καὶ τῆς Παλαιᾶς ἀνακηρύττεσθαι νο-
« μοθέτην, τῆς θείας πόῤῥωθεν προνοίας ἐπιστομιζού-
« σης τε καὶ πρόῤῥιζον τὴν ἀπόνοιαν ἀνασπώσης τῶν
« εἰς ἀντικειμένας ἀρχὰς δύο τολμώντων τὴν Παλαιὰν
« ἀναφέρειν καὶ τὴν Νέαν. Εἰ γὰρ τὸν Υἱὸν τῆς Ἐκ-
« κλησίας λαμπρῶς ἀνομολογούσης τούς τε παλαιοὺς
« χρησμοὺς ἀποφῆναι, καὶ τῆς Νέας τὸν αὐτὸν εἰσηγη-

« τὴν γεγονέναι, καὶ πρό γε τούτων τὴν τῶν κτισμάτων
« φύσιν ἐκ μὴ ὄντων οὐσιῶσαι, ὅμως οὖν τὸ Μανιχαίων
« μισόχριστον καὶ θεομάχον ἔθνος καὶ οἱ Μαρκίωνες
« οὐ φρίττουσιν εἰς ἑτέραν μὲν ἀρχὴν τὸ Εὐαγγελικὸν
« κήρυγμα ἀνάγειν, εἰς τὴν μαχομένην δὲ τὰ Μωσαϊ-
« κά, τίνα ἂν παρέδραμον βλασφημίας ὄγκον, εἰ τῶν
« παλαιῶν μὲν γραμμάτων ἀφωρισμένος νομοθέτης ὁ
« Πατὴρ ἀνεκηρύττετο, ἀφωρισμένος δὲ τῆς χάριτος ὁ
« Υἱός; Ἀλλὰ ταῦτα ἑτέρου καιροῦ μᾶλλον καὶ ὑπο-
« θέσεως ἄλλης ". Περὶ τούτου δὲ λαμπρῶς καὶ ἐν τῷ
196ῳ Ζητήματι πραγματεύεται, τὸ τοῦ Εὐαγγελιστοῦ
Ματθαίου ἑρμηνεύων, " οὐκ ἦλθον καταλῦσαι τὸν Νό-
μον, ἀλλὰ πληρῶσαι", καὶ " διὰ τί, ἐλθούσης τῆς χά-
ριτος, ὁ Νόμος ὑπεχώρησε". Τὸ ζήτημα τοῦτο εὕρη-
ται καὶ ἐν ταῖς Ἐπιστολαῖς αὐτοῦ (σελ. 250—2 τῆς
ἐμῆς ἐκδόσεως). Τούτοις δὲ προσθετέον καὶ τὸ 180ὸν
Ζήτημα, ἐν ᾧ ἑρμηνεύεται τὸ "Διὰ τί μέχρι Τριάδος τὸ
θεῖον προάγεται, καὶ οὔτε ἐντὸς περιγράφεται, οὔτε
πορρωτέρω παρατείνεται."

Οἱ μετὰ Φώτιον μέχρι τῆς ἁλώσεως τῆς Κ/πόλεως.

Καὶ νῦν, φίλτατε, νομίζεις ἴσως, ὅτι κατεφθάσαμεν
εἰς τὸ τέλος τῆς ἐξετάσεως τοῦ πρώτου τῶν τεθειμέ-
νων δύο ζητημάτων " Εἰ πρὸ τοῦ Θ′ ἄρθρου τοῦ Συμ-
βόλου ἐννοητέον ἐστὶν ἀπὸ κοινοῦ τὸ ῥῆμα " πιστεύω",
ἐπειδὴ πασῶν τῶν οἰκουμενικῶν Συνόδων καὶ πάντων
τῶν ἀπὸ τῆς πρώτης Συνόδου μέχρι Φωτίου ἀκμασάν-
των θείων Πατέρων διεξήλθομεν τὴν διδασκαλίαν, καὶ

εἴδομεν, ὅτι κατ' ἀμφότερα ταῦτα τὰ ἱερώτατα καὶ ἐπισημότατα μαρτύρια οὐδαμῶς ἔξεστι τὸ ῥῆμα τοῦτο ἐννοεῖν. Ἀλλ' ἐγὼ οὔπω νομίζω συμπεπληρωμένην τὴν περὶ τούτου ἔρευναν, ἐὰν μὴ καὶ τοὺς μετὰ Φώτιον ἀκμάσαντας καὶ συγγράψαντας διεξέλθωμεν μέχρι τῆς ὑπὸ τῶν Τούρκων ἁλώσεως τῆς Κωνσταντινουπόλεως. Προβαίνω λοιπὸν εἰς τὴν ἐξέτασιν ταύτην· ὅταν δὲ καταφθάσω εἰς τὸ ἀπαίσιον ἐκεῖνο χρονικὸν σημεῖον τῆς πολιτικῆς ἡμῶν ἱστορίας, τὴν ἅλωσιν λέγω τῆς Κωνσταντινουπόλεως, ἐπιδείξω σοι καὶ τὰ σωζόμενα τοῦ Συμβόλου χειρόγραφα (ὅσα τοὐλάχιστον ἐγὼ εἶδον), μαρτυροῦντα καὶ ταῦτα ὑπὲρ τῆς τοῦ Φωτίου ἑρμηνείας· καὶ οὕτω συμπληρώσω τὸ πρῶτον μέρος τῆς ἐμῆς ἐρεύνης, καὶ μεταβήσομαι εἰς τὸ δεύτερον· διότι ἀπὸ τῆς ἀπαισίου ἐκείνης ἐποχῆς ἤρξατο διαδιδομένη ἐν τῇ Ἀνατολῇ ἡ ἐπίβουλος διδασκαλία τοῦ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω", καθ' ὅσον τοὐλάχιστον ἠδυνήθην ἐγὼ ἀνευρεῖν.

Θεοφύλακτος ὁ Βουλγαρίας Ἀρχιεπίσκοπος.

Αὐτίκα δὴ ὁ δύο περίπου αἰῶνας μετὰ τὸν Φώτιον ἀκμάσας, Θεοφύλακτος ὁ Βουλγαρίας Ἀρχιεπίσκοπος, ἐδίδαξεν ἡμᾶς ἐν τοῖς ἔμπροσθεν (σελ. 30), ὅτι τὸ ῥῆμα "πιστεύω" μόνον εἰς ἔκφρασιν τῆς εἰς Θεὸν πίστεως εὕρηται ἐν τῇ Καινῇ Διαθήκῃ μετὰ Αἰτιατικῆς ἐμπροθέτου συντεταγμένον· ὅπερ σαφῶς δείκνυσιν, ὅτι πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τῆς πίστεως (ἔνθα περὶ κτίσματος ὁ λόγος) οὐ δυνάμεθα τὸ ῥῆμα τοῦτο

ἀπὸ κοινοῦ παραλαβεῖν. Ἀλλὰ καὶ ἀλλαχοῦ τῆς εἰς τὴν Νέαν Διαθήκην ἀρίστης ἑρμηνείας αὐτοῦ πολλάκις φαίνεται λέγων περὶ τῶν Προφητῶν ὅ,τι καὶ ὁ Φώτιος. Οὕτω, παραδείγματος χάριν, ἑρμηνεύων τὸ τοῦ Ἰωάννου (Δ', 38) "ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε", λέγει πρὸς τοῖς ἄλλοις καὶ τάδε. "Ἀκουέτωσαν οἱ περὶ Μαρκίωνα τὸν κατάρατον « καὶ Μάνεντα, καὶ τοὺς τοιούτους, οἳ τὴν Παλαιὰν « Διαθήκην ἀπαλλοτριοῦσι τῆς Νέας· κἀντεῦθεν γὰρ « ἐλέγχονται. Εἰ γὰρ ἀλλοτρία ἦν ἡ Παλαιά, πῶς οἱ « Ἀπόστολοι ἐθέρισαν τὰ τῶν Προφητῶν; ὥστε ἐπεὶ « τὰ τῆς Παλαιᾶς οἱ Ἀπόστολοι ἐθέρισαν, οὐκ ἀλλο- « τρία τῆς Καινῆς Διαθήκης ἐκείνη, ἀλλ' ἀ μ φ ό τ ε ρ α ι « μ ί α".[56] Ταῦτα οὐδὲν διαφέρουσιν ὧν ἐν τοῖς ἔμπροσθεν ἠκούσαμεν τοῦ Χρυσοστόμου διδάσκοντος· "Τοῦ « αὐτοῦ Πνεύματός ἐστιν ἡ Καινὴ καὶ ἡ Παλαιά· καὶ « τὸ αὐτὸ Πνεῦμα τὸ ἐν ἐκείνῃ φθεγξάμενον καὶ ἐν « ταύτῃ ἐ λ ά λ η σ ε ν"· ἑπομένως δὲ οὐδὲν διαφέρουσι καὶ τῶν ὑπὸ Φωτίου εἰρημένων· "εἰς ἣν (Ἐκκλησίαν) « καὶ τὸ πανάγιον Πνεῦμα διὰ τῶν Προφητικῶν σαλ- « πίγγων κ α τ ὰ τ ὴ ν ὑ φ ή γ η σ ι ν τ ο ῦ ἱ ε ρ ω τ ά-

---

[56] Ἄλλος (βλέπεις;) θησαυρὸς ἀποδείξεων ἀνακαλύπτεται ἐνταῦθα ὑπὲρ τῶν ὑβριστῶν μου, οἱ κατὰ τὸν Θεοφύλακτον κατάρατοι αἱρετικοί, Μαρκίων καὶ Μάνης. Ἀλλὰ καὶ ἐφεξῆς πολλοὺς ἄλλους τοιούτους ἑταίρους ἀνευρήσουσιν· ὑπομονὴ μόνον, καὶ ὁ λόγος προϊὼν οὐδὲν καταλείψει ἀνεξέλεγκτον, ἀλλ' ἀποδώσει, ὡς ἐλπίζω, ἑνὶ ἑκάστῳ τὰ προσήκοντα.

« ὁ ὁποῖος ἤθελε τολμήσῃ νὰ ἐκθέσῃ ἄλλην πίστιν εἰς « τοὺς ἐπιστρέφοντας ».[59]

Μάρκος ὁ Ἐφέσου.

Ἐν ᾧ μεθίστατο ἀπὸ τῶν ἐπιγείων εἰς τὰ οὐράνια καὶ ἀπὸ τῶν προσκαίρων εἰς τὰ αἰώνια ὁ καλὸς οὗτος τῆς Θεσσαλονίκης Ἀρχιεπίσκοπος, ἄλλος τῆς ὀρθοδοξίας ἀκαταγώνιστος πρόμαχος ἀνεφαίνετο (οὐ γὰρ ἐκλείψουσι στρατιῶται τῷ Θεῷ), Μάρκος ὁ Ἐφέσου, ὁ φερωνύμως ἐπικαλούμενος Εὐγενικός, ἐν ἔτει μὲν 1436 προχειρισθεὶς Ἀρχιεπίσκοπος Ἐφέσου (διάδοχος τοῦ τότε πατριαρχεύσαντος ἐν Κωνσταντινουπόλει Ἰω-

---

[59] Ἴδε "Συμεῶνος Ἀρχιεπισκόπου Θεσσαλονίκης τὰ ἅπαντα, ἐκ τῆς ἀρχαίας εἰς τὴν καθομιλουμένην μετενεχθέντα Ἑλληνίδα φωνήν, καὶ ἐκδοθέντα ἐγκρίσει τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ἐν Ἀθήναις, 1857". Θαυμαστὸν ὡς ἀληθῶς ἐστιν ὅ,τι πράττει ἡ Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος. Ἐγκρίσει μὲν γὰρ καὶ εὐλογίᾳ αὐτῆς ἐκδίδονται ἐν Ἀθήναις τὰ τὸ Σύμβολον ἑρμηνεύοντα συγγράμματα, ὅπως ἐγὼ τοῦτο ἀνέγνων ἐν τῇ Ἐκκλησίᾳ τῶν ἐν Λονδίνῳ ὀρθοδόξων Ἑλλήνων· ὅτε δὲ ὑβριζόμενος ἐγώ, καί, τὸ πάντων χείριστον, αἱρετικὸς ὀνομασθείς, διότι κατὰ τὴν ἔγκρισιν αὐτῆς τῆς Συνόδου ἀνέγνων τὸ Σύμβολον, κατέφυγον εἰς τὴν προστασίαν αὐτῆς, καὶ ἠρώτησα, τί τὸ ἀληθές, οὐ μόνον οὐδὲν ἀπεκρίνατο, ἀλλὰ καὶ διατελεῖ, ὡς φαίνεται, ἐγκρίνουσα καὶ προστατεύουσα τὴν ἀσεβῆ καὶ αἱρετικὴν τοῦ Συμβόλου ἀνάγνωσιν. Ἐν τῇ ἐγγράφῳ αἰτήσει μου, ἣν ὑπέβαλον τῇ Ἱερᾷ Συνόδῳ δι' ἑνὸς τῶν μελῶν αὐτῆς, τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Σύρου καὶ Τήνου, εἶπόν τινα τῶν ἐν ταῖς θείαις Γραφαῖς καὶ τοῖς συγγράμμασι τῶν θείων Πατέρων μαρτυρούντων ὑπὲρ τῆς ἐμῆς ἀναγνώσεως, οὐδ' ἐνόμισα ἀναγκαῖον πλείω εἰπεῖν, ὡς εἰδόσι γράφων. Ἐπειδὴ δέ, ὡς φαίνεται, οὐδὲν ταῦτα παρὰ τῇ Ἱερᾷ Συνόδῳ ἰσχύουσι, καὶ τὰ ὑπ' αὐτῆς ἐγκεκριμένα ὑπ' αὐτῆς πάλιν ἀκυροῦνται καὶ καταφρονοῦνται, οὐδὲν ἄλλο μοι καταλείπεται εἰπεῖν, ἢ ὅ,τι ἔλεγεν ὁ ταλαίπωρος λύκος τοῦ μύθου· "ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν".

Τῷ Ζιγαβηνῷ ἕπεται χρονολογικῶς Γρηγόριος ὁ Κύπριος (κατὰ τὸ 1283 ἀναγορευθεὶς Πατριάρχης Κωνσταντινουπόλεως, ἀποθανὼν δὲ τὸ 1290), ὁ δεινὸς πολέμιος τοῦ Λατινόφρονος προκατόχου αὐτοῦ Ἰωάννου τοῦ Βέκκου, τοῦ κατακριθέντος καὶ ἐκβληθέντος τοῦ θρόνου. Κατὰ τοῦ Βέκκου τούτου συνέγραψεν ὁ Γρηγόριος τόμον πίστεως, ἐν ᾧ λέγει τάδε. "Ἡμεῖς « τοίνυν οὕτω γλώττῃ ὁμολογοῦμεν, ὡς καὶ τῇ καρδίᾳ « πιστεύομεν. Πιστεύομεν δὲ ὡς ἄνωθεν ἐκ πατέρων « ἐδιδάχθημεν. Ἐδιδάχθημεν δὲ καὶ πιστεύομεν εἰς « ἕνα Θεὸν Πατέρα παντοκράτορα... Πιστεύομεν καὶ « εἰς τὸν μονογενῆ αὐτοῦ Υἱόν... Πιστεύομεν καὶ εἰς « τὸ πανάγιον Πνεῦμα... Πιστεύομεν κατὰ τὰς « περὶ Θεοῦ καὶ τῶν θείων παραδόσεις « τε καὶ εἰσηγήσεις τῆς μιᾶς καθολικῆς « καὶ Ἀποστολικῆς Ἐκκλησίας. Ὁμολο- « γοῦμεν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδο- « κῶμεν ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος « αἰῶνος". Παρατήρησον ἐν τῇ ὁμολογίᾳ ταύτῃ τοῦ Γρηγορίου, ὅτι οὐ λέγει "πιστεύομεν εἰς τὴν Ἐκκλησίαν", ἀλλὰ λέγει, ὅτι ἡ πίστις ἡμῶν, εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, στηρίζεται εἰς τὰς περὶ Θεοῦ καὶ τῶν θείων παραδόσεις καὶ εἰσηγήσεις τῆς μιᾶς καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας· ὅ ἐστιν, ἡ Ἐκκλησία παρέδωκεν ἡμῖν πιστεύειν εἰς τὴν ἁγίαν Τριάδα, οὐχὶ δὲ καὶ εἰς ἑαυτήν. Καὶ ἑτέραν δὲ ἔγρα-

Γρηγόριος ὁ Κύπριος Πατριάρχης Κωνσταντινουπόλεως.

ψεν ὁ Γρηγόριος οὗτος ὁμολογίαν πίστεως ὑπὲρ ἑαυτοῦ, οὐδὲν ἄλλο διαφέρουσαν τῆς ἄρτι παρατεθειμένης, ἢ ὅτι γέγραπται ἑνικῶς "πιστεύω" ἀντὶ "πιστεύομεν".

Γρηγόριος ὁ Παλαμᾶς.

Ἐν τῇ ἀμέσως ἑπομένῃ ἑκατονταετηρίδι (1300—1400) ἤκμασεν ὁ περικλεὴς τῆς Θεσσαλονίκης Μητροπολίτης Γρηγόριος ὁ Παλαμᾶς, ὁ στεῤῥῶς ὑπὲρ τῆς ὀρθοδοξίας ἀθλήσας, καὶ τοὺς αἱρετικοὺς Βαρλαὰμ καὶ Ἀκίνδυνον καταβαλών. Οὗτος συνέγραψε πολλὰ ὑπὲρ τῆς ὀρθοδόξου πίστεως, ἐν οἷς καὶ δύο Λόγους κατὰ τῆς ὑπὸ τῶν Λατίνων γενομένης προσθήκης ἐν τῷ Συμβόλῳ, "καὶ ἐκ τοῦ Υἱοῦ". Ἐν δὲ τῇ κατὰ τῆς αἱρέσεως τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου συγκροτηθείσῃ Συνόδῳ ἔγραψεν ὁμολογίαν τῆς ὀρθοδόξου πίστεως, ἐν ᾗ λέγει· "Εἷς Θεὸς πρὸ πάντων, καὶ ἐπὶ πάντων, καὶ « ἐν πᾶσι, καὶ ὑπὲρ τὸ πᾶν, ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ « Πνεύματι παρ' ἡμῶν προσκυνούμενός τε καὶ πιστευό« μενος". Μετὰ δὲ τὴν ἔκθεσιν τῶν ἰδιοτήτων ἑκάστου τῶν τριῶν προσώπων τῆς ἁγίας Τριάδος ἐπιλέγει· "Πάντας δὲ τοὺς μὴ ὁμολογοῦντας καὶ πιστεύ« οντας ὡς τὸ Πνεῦμα τὸ ἅγιον προεμήνυσε διὰ τῶν « Προφητῶν, ὡς ὁ Κύριος ἐθέσπισε διὰ σαρκὸς ἡμῖν « ἐπιφανείς, ὡς οἱ Ἀπόστολοι ἐκήρυξαν πεμφθέντες « ὑπ' αὐτοῦ, ὡς οἱ Πατέρες ἡμῶν καὶ διάδοχοι ἐκείνων « ἐδίδαξαν ἡμᾶς, ἀλλ' αἱρέσεως οἰκείας ἢ ἄρξαντας, « ἢ τοῖς κακῶς ἄρξασιν εἰς τέλος ἐπηκολουθηκότας, « ἀποβαλλόμεθα καὶ ἀναθέματι καθυποβάλλομεν. Δε-

« χόμεθα δὲ καὶ ἀσπαζόμεθα τὰς ἁγίας καὶ οἰκουμενι-
« κὰς Συνόδους... Ἐπὶ τούτοις πᾶσι προσδοκῶμεν
« ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος
« ἄληκτον. Ἀμήν". Περὶ δὲ πίστεως εἰς τὴν Ἐκκλη-
σίαν, κυρίας ἢ τροπικῆς, πρώτης ἢ δευτέρας τάξεως
(ὡς οἱ καθ' ἡμᾶς θεολόγοι διαιροῦσι τὴν πίστιν), οὐδὲν
οὐδαμοῦ λέγει, οὐδὲ τὸ παράπαν μνημονεύει τοῦ τῆς
Ἐκκλησίας ὀνόματος.

Συμεὼν ὁ Θεσσαλονίκης.

Ἕτερος τῆς Θεσσαλονίκης Ἀρχιεπίσκοπος, ὁ Συ-
μεών, ἐν ἀρχῇ τῆς ΙΕ' ἑκατονταετηρίδος ἀκμάσας, καὶ
24 ἔτη πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως
ἀποθανὼν (τὸ 1429), κατέλιπεν ἡμῖν πονήματά τινα
ἑρμηνευτικὰ τῶν ἱερῶν τελετῶν, ἐν οἷς καὶ "ἑρμηνείαν
εἰς τὸ τῆς ὀρθοδόξου πίστεως τῶν Χριστιανῶν ἱερὸν
Σύμβολον". Ἐν ταύτῃ δὲ τῇ ἑρμηνείᾳ πρῶτον μὲν
ἀρχόμενος λέγει· "Σύμβολον δὲ λέγω τῆς πίστεως
« ἐκεῖνο, τὸ ὁποῖον ἡ πρώτη ἐν Νικαίᾳ Σύνοδος τῶν
« τριακοσίων δεκαοκτὼ ἐπὶ Κωνσταντίνου τοῦ εὐσε-
« βοῦς βασιλέως, καὶ ἡ δευτέρα ἐπὶ Θεοδοσίου τοῦ
« φιλοχρίστου βασιλέως ἐν τῇ Κωνσταντινουπόλει τῶν
« ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων, συνέγραψαν,
« καὶ ἐπεκύρωσαν, ἀφ' οὗ τὸ ἔφεραν εἰς τὴν ἀπαιτου-
« μένην ἐντέλειαν".[57] Ἔπειτα δὲ ἑρμηνεύων τὰς λέ-

---

[57] Παρατήρησον, ὅτι πάντες ὁμοφώνως οἱ ὀρθόδοξοι τῆς Ἐκκλησίας Πατέρες καὶ συγγραφεῖς ἓν καὶ τὸ αὐτὸ θεωροῦσιν ἀμφότερα τὰ Σύμβολα ταῦτα, καὶ οὐδενὸς ἄλλου φροντίζουσιν, οὐδὲ ἄλλου Συμβόλου μνημονεύουσι

ξεις, "τὸ λαλῆσαν διὰ τῶν προφητῶν", ἐπιλέγει μετ' ἄλλα καὶ τάδε. "Διὰ τῶν προφητῶν λέγει, μὲ τὸ νὰ « ἐστάθησαν καὶ αὐτοὶ κήρυκες τοῦ Χριστοῦ, ὡς κεκινη- « μένοι καὶ αὐτοὶ καὶ λαλοῦντες, ὡς εἴπομεν ἀνωτέρω, « ἐν Πνεύματι θείῳ". Καὶ εὐθὺς μετὰ ταῦτα ἐν τῷ ἑρμηνεύειν τὰς λέξεις "εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν" λέγει· "Εἰς μίαν μὲν λέ- « γει, καθότι ἕνας εἶναι ὁ Θεὸς καὶ τοῦ Νόμου καὶ τῆς « Χάριτος, καὶ ὅτι μία ἐγένετο Ἐκκλησία τῶν ἀγγέ- « λων καὶ τῶν ἀνθρώπων, θεμελιωθεῖσα ἐπάνω εἰς τὸ « θεμέλιον τῶν Ἀποστόλων καὶ Προφητῶν... Καθο- « λικὴν δέ, καθότι ἀπὸ ὅλα τὰ ἔθνη εἰς τὸν Χριστὸν « ἐσυναθροίσθη... καὶ ἀπὸ τοὺς Προφήτας μὲν ἐπρο- « θεμελιώθη, ἀπὸ τοὺς Ἀποστόλους δὲ οἰκοδομήθη, « μὲ τὰ ἆθλα δὲ καὶ αἵματα τῶν μαρτύρων, ἱεραρχῶν « καὶ ἀσκητῶν ἐστηρίχθη, ἐστολίσθη, καὶ τελεία ἀπε- « δείχθη, κ. τ. λ." Μετὰ τὴν κατὰ λέξιν ταύτην ἑρμηνείαν τοῦ Συμβόλου ἔγραψεν ὁ Συμεὼν καὶ "ἔκθεσιν περὶ τῶν ῥητῶν τοῦ ἱεροῦ Συμβόλου· πόθεν ἐσυνάχθησαν, καὶ κατὰ τίνων εἶναι αὐτὰ συγκείμενα"· ἐννοεῖ δὲ διὰ τῆς συνεπτυγμένης ταύτης ἐπιγραφῆς, ὅτι πᾶσα

τὸ παράπαν. Νέα ὅλως καὶ πάντη παράλογός ἐστιν ἡ φροντὶς τοῦ ἐξετάζειν, τί εἶπεν ὁ Ἱεροσολύμων Κύριλλος, καὶ ὁποῖον ἦν τὸ Σύμβολον, ὃ ἐκεῖνος ἡρμήνευεν, ὅπως ἐξ ἐκείνου καὶ κατ' ἐκεῖνο ἑρμηνεύσωμεν καὶ τὸ τῆς Νικαίας, ὡς εἰ μὴ πάντες οἱ Πατέρες ἡρμήνευσαν αὐτό, καὶ ὡς εἰ διέφερεν ἡ ἑρμηνεία αὐτῶν κατά τι.

λέξις καὶ φράσις τοῦ Συμβόλου ἀνταποκρίνεται πρὸς ἓν ῥητὸν τῆς θείας Γραφῆς, ἤτοι τῆς Παλαιᾶς, ἡ τῆς Νέας. Κατὰ δὴ ταῦτα λέγει, ὅτι αἱ λέξεις "τὸ λαλῆσαν διὰ τῶν προφητῶν" ἀνταποκρίνονται πρὸς τὸ ὑπὸ τοῦ Ζαχαρίου (παρὰ Λουκᾷ, Α', 70) εἰρημένον· "καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ, σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς"—καὶ πρὸς ἄλλα μέρη τῆς τε Παλαιᾶς καὶ τῆς Νέας Διαθήκης. Τούτοις δὲ προστίθησιν ἐν ὑποσημειώσει, ὅτι ταῦτα ἐλέχθησαν ἐν τῷ Συμβόλῳ "κατὰ τῶν αἱρετικῶν, ὅσοι ἀποβάλλουσι τὸν Νόμον καὶ τοὺς Προφήτας". Ἔπειτα δὲ ἐπάγει τὰς λέξεις "εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν", καὶ ὑποσημειοῖ μέν, ὅτι ταῦτα ἐλέχθησαν "κατὰ τῶν λεγόντων, ὅτι τὰ παλαιὰ ἐναντία εἰσὶ τοῖς τοῦ Εὐαγγελίου", λέγει δέ, ὅτι ἀνταποκρίνονται πρὸς τὰ τοῦ Παύλου—"ὁ ποιήσας τὰ ἀμφότερα ἕν"—καί—"εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα"—καί—"ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ"—καί—"ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους· κ. τ. λ., κ. τ. λ." Περὶ δὲ Ἐκκλησίας, ὅτι ὀφείλομεν πιστεύειν καὶ εἰς αὐτήν, οὐδὲν οὐδαμοῦ λέγει, καίτοι ἑρμηνεύει τὸ Σύμβολον κατὰ λέξιν. —Καὶ ταῦτα μὲν ὁ Συμεὼν ἐν τῇ τοῦ Συμβόλου ἑρμηνείᾳ. Ἐν δὲ τῷ Λόγῳ αὐτοῦ, τῷ ἐπιγραφομένῳ "κατὰ

« χόμενοι, καὶ ἰδίᾳ καθ' ἑαυτοὺς οἱ τῶν Συνόδων
« ἔξαρχοι, περὶ τῆς πίστεως ἰδίᾳ ἀπεφήναντο, καὶ ἃ
« καὶ ἰδίως ἔγραψαν, ἢ πρὸς ἀλλήλους ἐπιστέλλοντες,
« ἢ καθ' ἑαυτοὺς δογματίζοντες, κἀκεῖνα παρ' αὐταῖς
« ταῖς Συνόδοις ἀναγνωσθέντα, ὡς κοιναὶ δόξαι προσ-
« εδέχθησάν τε καὶ ἐκυρώθησαν. Ἡμεῖς μὲν οὖν αἰ-
« δούμενοι τοὺς Πατέρας ἡμῶν, καὶ τοὺς ὅρους αὐτῶν
« φυλάττοντες, καὶ τὰς ἀρὰς εὐλαβούμενοι, οὐ δυνά-
« μεθα παραδέξασθαι τὴν ἐν τῷ Συμβόλῳ γενομένην
« προσθήκην, κ. τ. λ."

Ἱκανὰ ταῦτα, καὶ πλείω ἴσως τῶν ἱκανῶν, ἐκ τῶν πράξεων τῆς ἐν Φλωρεντίᾳ Συνόδου παρατεθέντα σοι, ὅπως ἴδῃς, ὅτι ἓν καὶ μόνον Σύμβολον ἀναγνωρίζει ἡ ὀρθόδοξος ἡμῶν Ἐκκλησία ὡς κανόνα πίστεως· καὶ τοῦτό ἐστι τὸ ἐν Νικαίᾳ συνταχθέν, ὑπὸ δὲ τῶν λοιπῶν ἐξ οἰκουμενικῶν Συνόδων κυρωθέν, καὶ διδάσκον ἡμᾶς πιστεύειν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον. Σύμβολον δὲ τοῦ Κυρίλλου, ἢ Κατηχήσεις τοῦ Κυρίλλου, ἢ πιστεύειν εἰς τὴν Ἐκκλησίαν, οὐδαμοῦ τῶν πρακτικῶν τῶν Συνόδων εὑρίσκομεν μνημονευόμενα, ὡς ἔχοντα κῦρος ἐν τῇ Ἐκκλησίᾳ. Ἀλλὰ καὶ πᾶσαι τῶν κατὰ καιροὺς Πατριαρχῶν καὶ Ἐπισκόπων αἱ ὁμολογίαι τῆς πίστεως τοῦτ' αὐτὸ μαρτυροῦσι περίτρανον, ὡς διὰ μακρῶν μέχρι νῦν ἀπεδείξαμεν. Ἑνὸς δὲ μόνου τῶν Πατριαρχῶν τὴν ὁμολογίαν προσθείς, καὶ τὰ χειρό-

« ἅγιον ΕΙΣ ΑΥΤΗΝ ΛΑΛΕΙ ΤΗΝ ΕΚΚΛΗΣΙΑΝ
« ...Ἂς φυλάττωμεν λοιπόν, Ἀδελφοί, αὐτὴν τὴν
« πίστιν, ἡ ὁποία ἔχει θεμέλιον μὲν τὸν Χριστόν, λί-
« θους δὲ τιμίους τοὺς Ἀποστόλους καὶ τοὺς Προφή-
« τας, καὶ ὅλον τὸν θεῖον χορὸν τῶν Ἱεραρχῶν καὶ
« Μαρτύρων καὶ Κηρύκων καὶ Ὁσίων, καὶ ὅλον τὸ
« συνάθροισμα τῶν Ἁγίων. Ἂς μὴ καινοτομήσωμεν
« εἰς τὴν ἀκριβεστάτην καὶ ἄμεμπτον ὁμολογίαν της,
« καθότι ἐκ τῶν Προφητῶν εἶναι, καὶ Ἀπο-
« στόλων, καὶ Πατέρων, καὶ Πνεύματι ἁγίῳ ἐσφρα-
« γίσθη.—Ἡ μὲν πρώτη Σύνοδος ἔκαμε τὴν ἀρχήν, καὶ
« ἐξέδωσε τὸ Σύμβολον· ἡ δὲ δευτέρα τὸ ἐσαφήνισε, καὶ
« τὸ ἔφερεν εἰς περισσοτέραν ἐντέλειαν περὶ τῆς τοῦ
« Λόγου ἐνανθρωπήσεως, καὶ τοῦ ἁγίου Πνεύματος.
« Ἐπειδὴ δὲ ὁ λόγος τῆς εὐσεβείας ἱκανῶς ἐξεδόθη,
« καὶ τὸ Σύμβολον τῆς πίστεως ἔλαβε τὴν ἐντέλειαν
« ἀπὸ τὰς θείας Γραφὰς καὶ τὸ ἱερώτατον Εὐαγγέλιον,
« ἐφάνη εἰς ἐκείνους τοὺς εὐσεβεῖς Πατέρας νὰ τὸ κυ-
« ρώσουν βέβαιον πάντη καὶ ἀκίνητον ἄχρι κεραίας,
« καὶ νὰ ἦναι αὐτὸ σημεῖον τῆς ἀληθοῦς καὶ ὀρθοδόξου
« ὁμολογίας· καθυπέβαλαν δὲ καὶ εἰς ἀνάθεμα ἐκεῖνον,

ἐξ ἅπαντος ὤφειλε καταπαῦσαι τὸν λόγον ἐν τῇ λέξει "προφητῶν". Ἐπειδὴ δὲ ταῦτα συνάπτει τοῖς περὶ τοῦ ἁγίου Πνεύματος λεγομένοις, διὰ τοῦτο κατέπαυσε τὸν λόγον ἐν τῇ λέξει "Ἐκκλησίαν", ἔνθα καταλήγει ἡ ἔκθεσις τῶν τοῦ παναγίου Πνεύματος ἰδιοτήτων. Τοῦτο δὲ μᾶλλον δηλοῦται ἐκ τῶν ἐφεξῆς παρατιθεμένων λόγων αὐτοῦ.

« καὶ τῶν περὶ αὐτοῦ ἐν τῇ τρίτῃ Συνόδῳ διορισμῶν,
« περὶ τοῦ μὴ προσθεῖναι χρῆμα, μήτε ἀφελεῖν ἀπ'
« αὐτοῦ ἢ κατὰ διάνοιαν, ἢ κατὰ λέξιν....
« Οὕτω πιστεύω, καὶ οὕτως ὁμολογῶ." Συνῳδὰ δὲ τούτοις ὁ θαυμαστὸς Γεννάδιος ἀπεφήνατο καὶ ὅτε ὁ καταχτητὴς Μωάμεθ ἠρώτησεν αὐτόν, "τί πιστεύετε ὑμεῖς οἱ Χριστιανοί;" Τότε ἐξέθηκεν ἐγγράφως τὴν γνωστὴν "Ὁμολογίαν τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως τῶν Χριστιανῶν," ἢ καὶ Τουρκιστὶ μετεφράσθη, καὶ τὸ μὲν πρῶτον ἐξεδόθη ὑπὸ Μαρτίνου Κρουσίου ἐν τῇ περιφήμῳ αὐτοῦ Τουρκογραικίᾳ μετὰ τῆς Τουρκικῆς μεταφράσεως,[63] ἔπειτα δὲ ἔν τε τῇ σειρᾷ τῶν Βυζαντινῶν ἱστορικῶν τῇ ἐν Βόννῃ ἐκδιδομένῃ,[64] καὶ ἐν τοῖς Ὑπομνήμασι τῆς πίστεως τῆς Ἀνατολικῆς Ἐκκλησίας, τοῖς ὑπὸ Ἐρνέστου Ἰουλίου Κιμμέλου ἐκδοθεῖσιν ἐν Ἰένῃ.[65] Ἡ ὁμολογία αὕτη τοῦ Γενναδίου διαιρεῖται εἰς 20 κεφάλαια, ὧν τὸ πέμπτον συμπληροῦται οὑτωσί. "Οὕτω πιστεύομεν ἡμεῖς τὸν ἕνα Θεὸν
« ἐν Τριάδι, Πατέρα, Υἱὸν καὶ Πνεῦμα ἅγιον, καθὼς
« ἐδίδαξεν ὁ Κύριος ἡμῶν Ἰησοῦς, κ. τ. λ." Τοῦτο δὲ τὸ δόγμα τῆς εἰς τὴν ἁγίαν Τριάδα πίστεως ἀναπτύσ-

---

[63] *Turcogræciæ* Libri octo a Martino Crusio, p. 107 sqq.

[64] Corpus Scriptorum Historiæ Byzantinæ.—Historica Politica et Patriarchica Constantinopoleos — Recognovit Immanuel Bekkerus.—Bonnæ, 1849.

[65] Monumenta Fidei Ecclesiæ Orientalis.—Ienaæ, 1850.

σήφ), μετὰ δύο δὲ ἔτη συνακολουθήσας τῷ αὐτοκράτορι Ἰωάννῃ τῷ Παλαιολόγῳ καὶ αὐτῷ δὴ τῷ πατριάρχῃ Ἰωσὴφ εἰς τὴν περίφημον ἐκείνην Σύνοδον, τὴν ἐν Φλωρεντίᾳ, ἔνθα καὶ διεκρίθη ἐπί τε τῇ Ἐκκλησιαστικῇ καὶ τῇ ἄλλῃ αὐτοῦ σοφίᾳ καὶ ἀρετῇ, καθ' ἧς αἱ τῶν Λατίνων σκευωρίαι καὶ τὰ παντοῖα σοφίσματα εἰς οὐδὲν ἴσχυσαν. Παρίστατο δὲ ἐν τῇ Συνόδῳ ἐκείνῃ οὐ μόνον ὡς Ἐφέσου Ἀρχιεπίσκοπος, ἀλλὰ καὶ ὡς ἐκ προσώπου δύο Πατριαρχῶν, τοῦ Ἱεροσολύμων καὶ τοῦ Ἀντιοχείας· διὸ καὶ πολὺς ἦν ἐν τῇ Συνόδῳ διά τε τὴν μεγάλην αὐτοῦ Ἐκκλησιαστικὴν παιδείαν καὶ δι' ὃν ἔφερεν ἐπίσημον χαρακτῆρα. Τὰ πλεῖστα τῶν ὑπὸ τοῦ θαυμασίου τούτου Ἀρχιερέως συγγεγραμμένων ὑπόθεσιν ἔχουσι τὰς τῶν Λατίνων καινοτομίας, καθ' ὧν λόγῳ τε καὶ ἔργῳ ἀνθίστατο ἔν τε τῇ Συνόδῳ καὶ μετὰ τὴν ἐπάνοδον αὐτοῦ εἰς Κωνσταντινούπολιν καὶ εἰς Ἔφεσον, ὡς ἄλλος Φώτιος τῆς ὀρθοδοξίας ὑπερμαχῶν, καὶ ἐν αὐτῇ τῇ στιγμῇ τοῦ θανάτου (ἀπέθανε δὲ τὸ 1447, ἓξ ἔτη πρὸ τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως) ἐντειλάμενος ἐνώπιον πολλῶν ἄλλων συμπαρόντων τῷ φίλῳ αὐτοῦ Γεωργίῳ τῷ Σχολαρίῳ μηδέποτε συγκαταθέσθαι τοῖς ἐν τῇ Συνόδῳ ἐκείνῃ δεδογμένοις, μηδὲ ἀποδέξασθαι τὴν μετὰ τῶν Λατίνων ἕνωσιν· καὶ ταύτην αὐτοῦ τὴν ἐντολὴν εὐσεβῶς ἐξεπλήρωσεν ὁ ἄξιος αὐτοῦ φίλος, ὁ μετὰ ταῦτα πατριαρχεύσας Σχολάριος, ὃν εὐθὺς ἐφεξῆς παραθησόμεθα τελευταῖον μάρτυρα

τοῦ λόγου.—Πρὸ παντὸς ἄλλου τῶν ὑπὸ τοῦ θαυμασίου Μάρκου συγγεγραμμένων ὀφείλομεν ἀναγνῶναι τὰς ἐν τῇ Συνόδῳ ἀγορεύσεις αὐτοῦ περὶ τοῦ Συμβόλου τῆς πίστεως, ἐξ ὧν τρανότατα καταδείκνυται, ὅτι ἀείποτε ἡ ὀρθόδοξος Ἐκκλησία ὡς ἓν καὶ τὸ αὐτὸ ἐθεώρησε τὰ δύο Σύμβολα, τό τε ἐν Νικαίᾳ καὶ τὸ ἐν Κωνσταντινουπόλει, ὡς οὐδαμῶς τοῦ δευτέρου τὸ πρῶτον μεταποιοῦντος, ἀλλὰ τὴν αὐτὴν ἐκείνῳ πίστιν διδάσκοντος. Ἀκούσωμεν λοιπὸν αὐτοῦ ἐν τῇ Ε′ συνεδριάσει τῆς Συνόδου περὶ τῶν δύο τούτων Συμβόλων ἀγορεύοντος, καὶ προτείνοντος τὴν ἀνάγνωσιν τῶν ὅρων, οὓς αἱ οἰκουμενικαὶ Σύνοδοι ἐξέδοντο. "Ἀναγνωσθήσονται « δέ (λέγει) οὐχ ὅλοι οἱ ὅροι διὰ τὸ μῆκος, τουτέστιν « οὐχ ὁλόκληροι, ἀλλὰ μέρη τούτων, ὅσα ἀνήκει πρὸς « τὴν παροῦσαν ὑπόθεσιν. Καὶ ἐπειδὴ τῆς πρώτης καὶ « τῆς δευτέρας οὐκ εἰσὶν ἕτεροι ὅροι περὶ τῶν θείων « δογμάτων, εἰ μὴ αὗται αἱ ἐκθέσεις τῆς πίστεως, ἤτοι « τὰ Σύμβολα, μᾶλλον δὲ τὸ Σύμβολον (ὡς « ἓν γὰρ ἐδέχθη καὶ ἐκυρώθη παρὰ τῶν ἐφεξῆς Συν- « όδων), ἀρξώμεθα ἀπὸ τῶν πρακτικῶν τοῦ βιβλίου τῆς « τρίτης Συνόδου, ἐν ᾧ δὴ βιβλίῳ προλάμπει μὲν καὶ « προτέτακται τὸ Σύμβολον τῶν ἐν Νικαίᾳ Πατέρων, « ἐπιφέρεται δὲ ὁ ὅρος αὐτῶν δὴ τῶν ἐν Ἐφέσῳ συνελ- « θόντων Πατέρων, διοριζομένων ἀσάλευτον μέ- « νειν καὶ ἀμετάτρεπτον ἐκεῖνο τὸ Σύμ- « βολον. Παρακαλοῦμεν δὲ καὶ τὴν ὑμετέραν ἀγά-

« πην μετὰ πάσης μακροθυμίας καὶ ὑπομονῆς ἀκοῦσαι
« τάς τε φωνὰς ἀναγινωσκομένας τῶν μακαρίων ἐκεί-
« νων Πατέρων, τῶν τοσούτων ἐκείνων τὸ πλῆθος καὶ
« τηλικούτων τὴν ἀρετήν, καὶ τὰς ἡμετέρας δικαιολο-
« γίας, ἃς ἔχομεν, καὶ μεταξὺ τῆς ἀναγνώσεως καὶ
« περὶ τὸ τέλος αὐτῆς, πρὸς τὸ προταθὲν ἡμῖν ἐξ
« ἀρχῆς, ὅτι μίαν εἶναι δεῖ παρὰ πᾶσι Χριστιανοῖς
« τὴν καθολικὴν πίστιν, καὶ ἐπ' αὐτῇ οὐκ ἔστι
« προσθεῖναι, καὶ ἀπ' αὐτῆς οὐκ ἔστιν
« ἀφελεῖν". Τούτων λεχθέντων, ἀνεγνώσθη μὲν
πρῶτον τὸ Σύμβολον τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ μετὰ
τοῦτο ὁ ὅρος τῆς ἐν Ἐφέσῳ, καθ' ὃν διατάσσεται
ἀμετακίνητον καὶ ἀμετάτρεπτον διαμένειν τὸ Σύμβολον
τοῦτο. Μετὰ δὲ τὴν τοῦ ὅρου ἀνάγνωσιν ἔλαβε πάλιν
τὸν λόγον ὁ Ἐφέσου, καὶ δύο ἔθετο ζητήματα τὰ
ἑξῆς· ά) "τίνος χάριν ἀσφαλίζεται ἡ Σύνοδος αὕτη (ἡ
ἐν Ἐφέσῳ δηλονότι) τοῦτο τὸ Σύμβολον διὰ τῶν τοιού-
των φωνῶν, καὶ διορίζεται μηδενὶ ἐξεῖναι μεταποιεῖν
αὐτό"· καὶ β' "πῶς οἱ Πατέρες οὗτοι τῆς τρίτης Συν-
όδου τοῦ τῆς πρώτης μόνου Συμβόλου μνησθέντες, καὶ
περὶ ἐκείνου τὸν ὅρον θέμενοι, τὸ τῆς δευτέρας παρέ-
λιπον". Ἀναπτύξας δὲ προσηκόντως ὁ εὐσεβέστατος
ῥήτωρ τὸ πρῶτον τῶν ζητημάτων τούτων, μετέβη εἰς
τὸ δεύτερον, περὶ οὗ λέγει τάδε. "...Μετὰ τὴν γενο-
« μένην περὶ τῆς πίστεως ἔκθεσιν τῆς πρώτης Συνόδου,
« διελθόντων χρόνων οὐκ ὀλίγων ἄχρι καὶ τῆς δευτέ-

« ρας, ἐγένοντο μεταξὺ κατὰ διαφόρους τόπους ὑπὸ
« μερικῶν Συνόδων πλείους ἐκθέσεις ἢ τριάκοντα· αἵ-
« τινες ἐκθέσεις ἀφαιροῦσαι τὴν τοῦ ὁμοουσίου
« λέξιν, σκανδαλίζουσαν τοὺς πολλούς, ἐν τοῖς λοιποῖς
« πολλὴν εἶχον τὴν ὁμοιότητα πρὸς τὴν πρώτην ἐκεί-
« νην ἔκθεσιν.[60] Ὅθεν καὶ ἡ δευτέρα Σύνοδος, πολλῷ
« μᾶλλον ἐκείνων ἐξουσίαν ἔχουσα τοῦτο ποιεῖν, ἅτε
« καὶ οἰκουμενικῆς Συνόδου ἀξίωμα κεκτημένη, ἀνέ-
« πτυξε τὸ τῆς πρώτης Σύμβολον, διὰ τοὺς Πνευματο-
« μάχους τὴν περὶ τοῦ ἁγίου Πνεύματος θεολογίαν
« ἐκθεμένη πλατύτερον. Ὁμοίως ἀνέπτυξε καὶ τὸ
« περὶ τῆς οἰκονομίας τοῦ Θεοῦ Λόγου δόγμα, διὰ τὴν
« αἵρεσιν Ἀπολιναρίου προσθεῖσα τῷ σαρκωθέντα
« τὸ ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς
« παρθένου· τοῦτο γὰρ οὐ κεῖται ἐν τῷ τῆς πρώ-
« της Συμβόλῳ. Ταῦτα μὲν οὖν ἐποίησεν αὐτή, καὶ
« κατὰ τὴν μέχρι τότε ἐπικρατήσασαν ἄδειαν (οὔπω
« γὰρ ἐκεκώλυτο), καὶ ὡς οἰκουμενικὴ Σύνοδος. Καὶ
« ποιησαμένη τὴν τοιαύτην ἀνάπτυξιν καὶ περὶ τὰς
« λέξεις ἐναλλαγήν, οὐδ' αὕτη τὸ μὴ ἐξεῖναι προσθεῖ-
« ναι ἢ ἀφελεῖν διωρίσατο, διά τε τὰς εἰρημένας αἰτίας,
« καὶ ἵνα μὴ δόξῃ τοῖς ἄλλοις ἐναντία, ὧν ἐποίησεν
« αὐτή, διορίζεσθαι. Ἀλλ' ἡ ἐξουσία τῆς μεταποιή-

---

[60] Τούτων μία τίς ἐστι καὶ ἡ ἑρμηνευομένη ἐν ταῖς λεγομέναις Κατηχήσεσι Κυρίλλου τῶν Ἱεροσολύμων, ἀλλοτρία δηλονότι τῆς ἐν Νικαίᾳ πίστεως διὰ τὴν ἀφαίρεσιν τοῦ ὅρου ὁμοούσιος.

« σεως αὕτη προσβλαβὴς τῇ Ἐκκλησίᾳ ἐγένετο· καὶ
« γὰρ λαβόμενοι τῆς ἀδείας ταύτης οἱ τὰ Νεστορίου
« φρονοῦντες παρεποίησαν τὸ ἐν Νικαίᾳ Σύμβολον,
« ἐνθέντες αὐτῷ δόγματα τῆς Ἐκκλησίας ἀλλότρια,[61]
« καὶ τοῖς βαπτιζομένοις ἐδίδουν ὡς μάθημα πίστεως.
« Τοῦτο τὸ παραπλασθὲν Σύμβολον ἀναγνωσθὲν ἐν
« ταύτῃ τῇ τρίτῃ Συνόδῳ,[62] αἴτιον ἐγένετο πρὸς τὸ
« λοιπὸν κωλυθῆναι ταύτην τὴν τῆς μεταποιήσεως
« ἄδειαν. Διωρίσαντο γὰρ οἱ Πατέρες μηκέτι λοιπὸν
« ἐξεῖναι μηδενὶ μεταποιεῖν ὅλως τὸ ἐν Νικαίᾳ Σύμβο-
« λον, ταὐτὸν δὲ εἰπεῖν τὸ ἐν Κωνσταντι-
« νουπόλει. Δυνάμει γὰρ αὐτῷ περιέχε-
« ται, καὶ ὡς ἓν ἄμφω λελόγισται, καθὼς
« ἐν τοῖς μετὰ ταῦτα δειχθήσεται. Ταύτην δὲ τὴν
« ἄδειαν, τὴν μέχρι τότε ἐπικρατήσασαν, καὶ ἑαυτῶν
« ἀφαιροῦνται καὶ πάντων τῶν ἄλλων. κ. τ. λ."
Μετὰ ταῦτα ἀνεγνώσθη τό τε ἐν Κωνσταντινουπόλει
συμπληρωθὲν Σύμβολον, καὶ οἱ περὶ πίστεως ὅροι
ἁπασῶν τῶν ἑπτὰ οἰκουμενικῶν Συνόδων· ὁ δὲ Ἐφέσου
συνεπλήρωσε τὴν μακρὰν καὶ ὀρθόδοξον αὐτοῦ ἀγό-
ρευσιν, ἐπειπών. "Ἠκούσατε, Πατέρες αἰδεσιμώτατοι,
« τὰς ἀποφάσεις, ἃς οἱ θεῖοι Πατέρες καὶ κοινῇ συνερ-

---

[61] Καὶ ὅμως τὸ Σύμβολον τοῦτο μετὰ τοῦ Ἀρειανοῦ χρησιμεύει τοῖς πρὸ τοῦ Θ' ἄρθρου τὸ ῥῆμα "πιστεύω" ἐννοοῦσιν εἰς ἀπόδειξιν τοῦ παραλόγου αὐτῶν ἰσχυρισμοῦ.

[62] Ἴδε περὶ τούτου ἐν τοῖς ἔμπροσθεν, σελ. 87—88.

« χόμενοι, καὶ ἰδίᾳ καθ' ἑαυτοὺς οἱ τῶν Συνόδων
« ἔξαρχοι, περὶ τῆς πίστεως ἰδίᾳ ἀπεφήναντο, καὶ ἃ
« καὶ ἰδίως ἔγραψαν, ἢ πρὸς ἀλλήλους ἐπιστέλλοντες,
« ἢ καθ' ἑαυτοὺς δογματίζοντες, κἀκεῖνα παρ' αὐταῖς
« ταῖς Συνόδοις ἀναγνωσθέντα, ὡς κοιναὶ δόξαι προσ-
« εδέχθησάν τε καὶ ἐκυρώθησαν. Ἡμεῖς μὲν οὖν αἰ-
« δούμενοι τοὺς Πατέρας ἡμῶν, καὶ τοὺς ὅρους αὐτῶν
« φυλάττοντες, καὶ τὰς ἀρὰς εὐλαβούμενοι, οὐ δυνά-
« μεθα παραδέξασθαι τὴν ἐν τῷ Συμβόλῳ γενομένην
« προσθήκην, κ. τ. λ."

Ἱκανὰ ταῦτα, καὶ πλείω ἴσως τῶν ἱκανῶν, ἐκ τῶν πράξεων τῆς ἐν Φλωρεντίᾳ Συνόδου παρατεθέντα σοι, ὅπως ἴδῃς, ὅτι ἓν καὶ μόνον Σύμβολον ἀναγνωρίζει ἡ ὀρθόδοξος ἡμῶν Ἐκκλησία ὡς κανόνα πίστεως· καὶ τοῦτό ἐστι τὸ ἐν Νικαίᾳ συνταχθέν, ὑπὸ δὲ τῶν λοιπῶν ἓξ οἰκουμενικῶν Συνόδων κυρωθέν, καὶ διδάσκον ἡμᾶς πιστεύειν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον. Σύμβολον δὲ τοῦ Κυρίλλου, ἢ Κατηχήσεις τοῦ Κυρίλλου, ἢ πιστεύειν εἰς τὴν Ἐκκλησίαν, οὐδαμοῦ τῶν πρακτικῶν τῶν Συνόδων εὑρίσκομεν μνημονευόμενα, ὡς ἔχοντα κῦρος ἐν τῇ Ἐκκλησίᾳ. Ἀλλὰ καὶ πᾶσαι τῶν κατὰ καιροὺς Πατριαρχῶν καὶ Ἐπισκόπων αἱ ὁμολογίαι τῆς πίστεως τοῦτ' αὐτὸ μαρτυροῦσι περίτρανον, ὡς διὰ μακρῶν μέχρι νῦν ἀπεδείξαμεν. Ἑνὸς δὲ μόνου τῶν Πατριαρχῶν τὴν ὁμολογίαν προσθείς, καὶ τὰ χειρό-

γραφα ἐξετάσας Σύμβολα, καταπαύσω τὸν περὶ τοῦ πρώτου ζητήματος λόγον, καὶ μεταβήσομαι εἰς τὸ δεύτερον.

Γεννάδιος ὁ Σχολάριος.

Ἔστι δὲ ὁ Πατριάρχης οὗτος, ὃν τελευταῖον παραστήσομαι μάρτυρα τοῦ λόγου, Γεννάδιος ὁ Σχολάριος, ὁ πρῶτος μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως πατριαρχεύσας, πρότερον Γεώργιος Σχολάριος ὀνομαζόμενος, καὶ πολλῆς ἀπολαύων φήμης ἐπί τε Ἐκκλησιαστικῇ καὶ ἐπὶ πολιτικῇ παιδείᾳ, δι' ἣν καὶ ἐν τῇ αὐλῇ τῆς Κωνσταντινουπόλεως ἐξαιρέτως ἐτιμᾶτο, καὶ τῷ αὐτοκράτορι Ἰωάννῃ τῷ Παλαιολόγῳ συνηκολούθησεν εἰς τὴν ἐν Φλωρεντίᾳ Σύνοδον· ἐκεῖ δὲ συνειργάσατο Μάρκῳ τῷ Ἐφέσου, παρ' οὗ ἀποθνήσκοντος, ὡς ἄρτι ἐλέγομεν, ἔλαβε τὴν ἐντολήν, ὅπως διατελέσῃ ἀποκρούων τὴν ἐν τῇ Συνόδῳ ἐκείνῃ μηχανοῤῥαφηθεῖσαν ἕνωσιν· ὃ δὴ καὶ ἔπραξεν ὁ σοφὸς ἀνήρ, τῇ τε ἰδίᾳ αὐτοῦ ὀρθοδοξίᾳ καὶ τῇ τοῦ θαυμασίου Μάρκου ἐντολῇ εὐσεβοφρόνως ὑπηρετῶν. Οὗτος λοιπὸν ὁ Γεννάδιος ἔγραψε πρὸς τοῖς ἄλλοις καὶ "Ἔκθεσιν τῆς ὀρθῆς περὶ τῆς τοῦ ἁγίου Πνεύματος ὑποστάσεως δόξης, καὶ τοῦ ἀρχαίου καὶ ὡμολογημένου τῆς Ἐκκλησίας φρονήματος, ὡς ἐν τύπῳ ὁμολογίας·" ἐν δὲ τῷ προλόγῳ τῆς ἐκθέσεως ταύτης λέγει· "Δίδωμι Θεῷ καὶ ἀγγέλοις « καὶ πᾶσιν ἁγίοις τὴν ὁμολογίαν τῆς ἐμῆς πίστεως « οὕτως, προϋποτιθεμένου τοῦ ἐν Κωνσταντινουπόλει « Συμβόλου τῆς πίστεως, εἴτουν τοῦ ἐν Νικαίᾳ,

« καὶ τῶν περὶ αὐτοῦ ἐν τῇ τρίτῃ Συνόδῳ διορισμῶν, « περὶ τοῦ μὴ προσθεῖναι χρῆμα, μήτε ἀφελεῖν ἀπ' « αὐτοῦ ἢ κατὰ διάνοιαν, ἢ κατὰ λέξιν.... « Οὕτω πιστεύω, καὶ οὕτως ὁμολογῶ." Συνῳδὰ δὲ τούτοις ὁ θαυμαστὸς Γεννάδιος ἀπεφήνατο καὶ ὅτε ὁ κατακτητὴς Μωάμεθ ἠρώτησεν αὐτόν, "τί πιστεύετε ὑμεῖς οἱ Χριστιανοί;" Τότε ἐξέθηκεν ἐγγράφως τὴν γνωστὴν "Ὁμολογίαν τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως τῶν Χριστιανῶν," ἣ καὶ Τουρκιστὶ μετεφράσθη, καὶ τὸ μὲν πρῶτον ἐξεδόθη ὑπὸ Μαρτίνου Κρουσίου ἐν τῇ περιφήμῳ αὐτοῦ Τουρκογραικίᾳ μετὰ τῆς Τουρκικῆς μεταφράσεως,[63] ἔπειτα δὲ ἔν τε τῇ σειρᾷ τῶν Βυζαντινῶν ἱστορικῶν τῇ ἐν Βόννῃ ἐκδιδομένῃ,[64] καὶ ἐν τοῖς Ὑπομνήμασι τῆς πίστεως τῆς Ἀνατολικῆς Ἐκκλησίας, τοῖς ὑπὸ Ἐρνέστου Ἰουλίου Κιμμέλου ἐκδοθεῖσιν ἐν Ἰένῃ.[65] Ἡ ὁμολογία αὕτη τοῦ Γενναδίου διαιρεῖται εἰς 20 κεφάλαια, ὧν τὸ πέμπτον συμπληροῦται οὑτωσί. "Οὕτω πιστεύομεν ἡμεῖς τὸν ἕνα Θεὸν « ἐν Τριάδι, Πατέρα, Υἱὸν καὶ Πνεῦμα ἅγιον, καθὼς « ἐδίδαξεν ὁ Κύριος ἡμῶν Ἰησοῦς, κ. τ. λ." Τοῦτο δὲ τὸ δόγμα τῆς εἰς τὴν ἁγίαν Τριάδα πίστεως ἀναπτύσ-

---

[63] *Turcogræciæ* Libri octo a Martino Crusio, p. 107 sqq.

[64] Corpus Scriptorum Historiæ Byzantinæ.—Historica Politica et Patriarchica Constantinopoleos — Recognovit Immanuel Bekkerus.—Bonnæ, 1849.

[65] Monumenta Fidei Ecclesiæ Orientalis.—Ienaæ, 1850.

σων προσηκόντως, προστίθησιν ἐν τέλει καὶ ὅσα τὸ Σύμβολον διδάσκει περὶ ἀναστάσεως τῶν νεκρῶν καὶ περὶ τῆς μελλούσης ζωῆς· περὶ δὲ πίστεως εἰς τὴν Ἐκκλησίαν οὐδὲν λέγει, οὐδὲ μὴν μνημονεύει τὸ παράπαν τοῦ ὀνόματος τῆς Ἐκκλησίας· καὶ τοῦτο ὀρθῶς πάνυ καὶ προσηκόντως· διότι λέγων "πιστεύομεν" ἐννοεῖ βεβαίως, ὅτι ἡμεῖς (τουτέστιν ἡ Ἐκκλησία) πιστεύομεν. Πῶς λοιπὸν ἠδύνατο εἰπεῖν, "ἡμεῖς, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, πιστεύομεν εἰς τὴν ἁγίαν Τριάδα, πιστεύομεν δὲ καὶ εἰς τὴν Ἐκκλησίαν;" Ἡ Ἐκκλησία πιστεύει εἰς τὴν Ἐκκλησίαν· τί τούτου παραλογώτερον; τί τούτου ἀσεβέστερον; Ἀλλ' ὅμως τὴν παράλογον ταύτην καὶ ἀσεβῆ τοῦ Συμβόλου ἑρμηνείαν ἀσπάζονται καὶ διδάσκουσιν ἡμᾶς οἱ τεταγμένοι ὀρθοτομεῖν τὸν λόγον τῆς ἀληθείας τοῦ Κυρίου, ἀγνοοῦντες, ὅτι εὐθὺς μετὰ τὴν ἅλωσιν τῆς Κωσταντινουπόλεως τεχνηέντως ἀπεστάλη εἰς τὴν Ἀνατολὴν ἐκ τῆς Δύσεως ἡ τοιαύτη διδασκαλία, ὡς ἐν τῷ Β' μέρει τῆς ἐπιστολῆς μου καταδείξω σοι πληρέστατα. Ἀλλὰ πρὶν ἢ ἐπιληφθῶ τῆς ἐξετάσεως τοῦ δευτέρου τῶν τεθειμένων δύο ζητημάτων, ὀφείλω σοι καὶ ἑτέραν ἔρευναν γνωστοποιῆσαι, ἣν ἐποιησάμην, οὐδενὸς φεισάμενος κόπου, ὅπως πανταχόθεν μοι βεβαιωθῇ ἡ ἀκρίβεια τῆς ὑπὸ τοῦ Φωτίου δεδομένης ἑρμηνείας τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου, ἐξ ἧς ἔλαβον τὴν πρώτην ἀφορμὴν τοῦ ἐρευνῆσαι περὶ τοῦ σπουδαίου τούτου πράγματος.

Χειρόγραφα Σύμβολα.

Μετὰ τὴν ἔρευναν τῶν πρακτικῶν τῶν Συνόδων καὶ τῶν συγγραμμάτων τῶν Πατέρων τῆς Ἐκκλησίας, ἀπὸ τοῦ μεγάλου Ἀθανασίου μέχρι Γρηγορίου τοῦ Σχολαρίου, ἐξ ἧς ἐδιδάχθην, ὅτι οὐδέποτε πρὸ τοῦ Θ′ ἄρθρου τοῦ Συμβόλου παρελαμβάνετο ἀπὸ κοινοῦ τὸ ῥῆμα "πιστεύω", ἀναγκαῖον ἐνόμισα ἐξετάσαι καὶ τὰ ἐνταῦθα εὑρισκόμενα παλαιὰ χειρόγραφα τοῦ Συμβόλου, ὅπως ἴδω, εἰ ἐν αὐτοῖς ὑπάρχει τελεία στιγμὴ μετὰ τὴν λέξιν "προφητῶν". Τέσσαρα ἢ πέντε τοιαῦτα εὗρον ἐν τῇ βιβλιοθήκῃ τοῦ Βρεττανικοῦ Μουσείου, γεγραμμένα ἐν τῷ ΙΓ′ καὶ ΙΔ′ αἰῶνι, ἐν οἷς ἅπασι τὸ μέρος τοῦτο τοῦ Συμβόλου εὕρηται οὑτωσὶ γεγραμμένον· "Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον...τὸ « λαλῆσαν διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν, καθο« λικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν". Ἐννοεῖς βεβαίως, ὅτι ἐν πᾶσι τούτοις τοῖς χειρογράφοις τὸ Σύμβολον οὐκ ἔστι γεγραμμένον κατὰ τὴν εἰς ἄρθρα διαίρεσιν αὐτοῦ, ὡς συνήθως ἐκδίδοται ἐν ταῖς Κατηχήσεσιν, ἀλλὰ κατὰ σειρὰν ἀδιάσπαστον, ὡς ἐκδίδοται ἐν τοῖς λεγομένοις Ὡρολογίοις καὶ ἄλλοις Εὐχολογίοις τῆς ἡμετέρας Ἐκκλησίας, τοῖς ἀείποτε ἐν Βενετίᾳ ἐκδιδομένοις, ἐν οἷς παραλόγως τίθεται πάντοτε τελεία στιγμὴ μετὰ τὴν λέξιν, "προφητῶν", οὐχ ὑπάρχουσα ἐν τοῖς χειρογράφοις τῶν Ὡρολογίων, ὅσα ἐγὼ εἶδον.[66]

---

[66] Μετὰ λύπης λέγω, ὅτι οὐ πολλὴν περιποιεῖται τιμὴν τοῖς διέπουσι τὰ τῆς Ἐκκλησίας ἡμῶν τὸ μέχρι νῦν ἐκ Βενετίας πορίζεσθαι τὰ εἰς τὰς τελε-

Συντομίας χάριν παραλείπω τὸ ἀντιγράψαι σοι πάντα τὰ χειρόγραφα ταῦτα Σύμβολα, ἅτινα δυνατὸν ἀνευρεῖν εἰς μέγαν ἀριθμόν, ἐάν τις καὶ ἐν ἄλλαις ἐρευνήσῃ βιβλιοθήκαις· ἀλλ' ἓν τούτων, ὃ εἶδον ἀποκείμενον ἐν τῇ Βοτλεϊανῇ βιβλιοθήκῃ τοῦ ἐν Ὀξωνίῳ πανεπιστημίου, καὶ ὅπερ ἐγράφη, ὡς ἐν τῷ καταλόγῳ

τουργίας τῆς Ἐκκλησίας ἡμῶν χρησιμεύοντα βιβλία, κακῶς τετυπωμένα, καὶ τυπογραφικῶν καὶ ἄλλων παροραμάτων γέμοντα. Τά τε Πατριαρχεῖα καὶ ἡ ἐν Ἀθήναις Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος ὀφείλουσι, νομίζω, συσκέψασθαι περὶ τούτου, καὶ προσηκόντως ἐκδοῦναι ἐν Ἀθήναις ἢ ἐν Κωνσταντινουπόλει πάντα τὰ τοιαῦτα βιβλία. Καὶ γινώσκω μέν, ὅτι πρόφασις τῆς ἐλλείψεως ταύτης προβάλλεται πάντοτε τὸ τοῦ Δημοσθένους ἐκεῖνο· "δεῖ δὴ χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστι γενέσθαι τῶν δεόντων"· ἀλλὰ τοῦ αὐτοῦ Δημοσθένους ἐστὶ καὶ τό· "οὐδενὶ πώποτε ἀνθρώπων οὔτε « γέγονεν οὔτε γενήσεται, ἂν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν « ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ". Μὴ λοιπὸν τὸ πρῶτον μόνον, ἀλλὰ καὶ τὸ δεύτερον τοῦ Δημοσθένους, ἐνθυμώμεθα. Ἐγνώρισα πρό τινων ἐτῶν ἐν Λονδίνῳ σεβάσμιόν τινα Ἀρχιμανδρίτην, ἀνηρτημένον φέροντα ἐπὶ τοῦ στήθους ἀδαμάντινον σταυρόν, οὗ ἡ ἀξία ἐλέγετο εἶναι Λιρῶν Ἀγγλικῶν **1500**· ἐλέγετο δὲ πρὸς τούτῳ, ὅτι καὶ ἕτερον εἶχεν ὁ Ἀρχιμανδρίτης σταυρὸν διπλασίας ἀξίας. Ὦ σεβασμιώτατοι λειτουργοὶ τοῦ σταυρωθέντος ἐπὶ ξύλου δραχμῆς μόλις ἀξίου! διὰ Λιρῶν **4500**, ἤτοι Δραχμῶν περίπου **120,000**, οὐ μέλασιν, ἀλλὰ χρυσοῖς γράμμασιν, ἐκτυποῦνται πάντα τὰ τελετουργικὰ ἡμῶν βιβλία. Ἄλλος τις δαπανᾷ ἴσως πλείους τῶν **50** Λιρῶν εἰς τὸ φωτογραφῆσαι ἑαυτὸν κατὰ παντοίας περιβολὰς καὶ σχήματα· καὶ ἄλλος ἄλλα τοιαῦτα μάταια καὶ ἀνωφελῆ περὶ πλείονος ποιεῖται τῶν ὠφελίμων καὶ σωτηρίων. Ἀλλ' ἐὰν οἱ τοιοῦτοι κληρικοὶ ἀγνοῶσιν ἢ καταφρονῶσι τὸ τοῦ Δημοσθένους σοφὸν ἀπόφθεγμα, ἀγνοοῦσι τάχα ἢ καταφρονοῦσι καὶ τὸ τοῦ Σωτῆρος, αὐτοῦ δηλονότι τοῦ ἐπὶ τοῦ στήθους αὐτῶν ἐν ἀποστίλβουσιν ἀδάμασι κρεμαμένου, θεῖον λόγιον; "Μὴ μεριμνᾶτε τῇ ψυχῇ « ὑμῶν τί φάγητε καὶ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε· οὐχὶ « ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος;"—Ματθ. ΣΤ', 25 κ. ἑξ."

σημειοῦται, καὶ ὡς ἐκ τῆς γραφῆς βεβαιοῦται, κατὰ τὸν ΙΓ' αἰῶνα, ἀντιγράφω σοι, ὡς πάντων τῶν ἄλλων σημαντικώτερον. Εὕρηται δὲ τὸ Σύμβολον τοῦτο γράμμασι χρυσοῖς γεγραμμένον ἐν τέλει τοῦ περιφήμου κώδηκος, ὃς ἐπικαλεῖται Codex Ebnerianus ἐκ τοῦ ὀνόματος τοῦ πρότερον κατέχοντος αὐτόν, παρ' οὗ ἠγοράσθη ἀντὶ Λιρῶν 150, ὡς ἐν τῷ καταλόγῳ σημειοῦται. Ὁ περίφημος οὗτος κώδηξ περιέχει ἐν ἀρχῇ μὲν ἐπιστολὴν Εὐσεβίου τινὸς πρὸς τὸν φίλον αὐτοῦ Καρπιανόν, ᾧ ἀποστέλλει τὸν ὑπ' αὐτοῦ συντεταγμένον κανόνα τῶν τεσσάρων Εὐαγγελίων· ἔπειτα δὲ περιέχει τὸ κείμενον αὐτὸ τῶν Εὐαγγελίων μετὰ προτεταγμένων εἰκόνων ἑκάστου τῶν Εὐαγγελιστῶν κατὰ τὸ σύνηθες· καὶ ἐν τέλει τὸ Σύμβολον τῆς πίστεως, γράμμασι χρυσοῖς γεγραμμένον ἀπαραλλάκτως οὑτωσί.

Τὸ θεῖον Σύμβολον τῆς ὀρθοδόξου πίστεως ἐκτεθὲν παρὰ τῶν ἐν Νικαίᾳ ά συνόδου ἁγίων πατέρων.

Πιστεύω εἰς ἕνα θεόν, πατέρα παντοκράτορα ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα κύριον ἰησοῦν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ· τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων των αἰώνων· φῶς ἐκ φωτός· θεὸν

ἀληθινόν, ἐκ θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ πατρί· δι' οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν· καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα· σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ ποντίου πιλάτου· καὶ παθόντα· καὶ ταφέντα· καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς· καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς· καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρός· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον· τὸ κύριον· τὸ ζωοποιόν· τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον· τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον· τὸ λαλῆσαν διὰ τῶν προφητῶν εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν· καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. ἀμήν † †

Δύο τινὰ παρατηρητέον ἐν τῷ χειρογράφῳ τούτῳ Συμβόλῳ, πολλῆς ἄξια προσοχῆς· ά) ὅτι ἐπιγράφεται Σύμβολον τῆς ἐν Νικαίᾳ Α' Συνόδου, εἰ καὶ ἔστιν,

ὡς βλέπεις, αὐτὸ τὸ ἐν Κωνσταντινουπόλει ὑπὸ τῆς Β′ συμπληρωθέν· ὃ πάλιν δείκνυσιν, ὡς πολλάκις ἐν τοῖς ἔμπροσθεν εἴδομεν, ὅτι ἀείποτε ἀμφότερα τὰ Σύμϐολα ἐθεωρήθησαν ἓν καὶ τὸ αὐτό, ὡς μίαν καὶ τὴν αὐτὴν πίστιν διδάσκοντα, οὐχὶ δὲ μίαν πίστιν τὸ πρῶτον, καὶ δύο πίστεις τὸ δεύτερον, τὴν μὲν πρώτης τάξεως, τὴν δὲ δευτέρας, ὡς λέγουσιν οἱ πρὸ τοῦ Θ′ ἄρθρου ἐννοοῦντες τὸ ῥῆμα "πιστεύω"·—ϐ′) ὅτι ὁ γράψας αὐτό, καίπερ ἀφθόνως διασπείρων τὴν τελείαν στιγμὴν καὶ τὴν μέσην στιγμήν, καίπερ εἰς ἰδίαν χωρίζων παράγραφον τὸν προσδιορισμὸν "Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, κ. τ. λ." ὃς ἀναντιῤῥήτως ὤφειλεν εἶναι συνημμένος τοῖς πρὸ αὐτοῦ, ὅμως οὔτε τελείαν, οὔτε μέσην στιγμήν, οὔτε ἁπλῶς ὑποστιγμὴν γράφει μετὰ τὴν λέξιν "προφητῶν", οὔτε εἰς ἄλλην χωρίζει παράγραφον τὸ "εἰς μίαν ἁγίαν καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν", ὅπερ ἐξ ἅπαντος ἔμελλε πρᾶξαι, εἰ πρὸ τούτου ἤθελεν ἐννοεῖν ἀπὸ κοινοῦ τὸ ῥῆμα "πιστεύω".

Καὶ τὰ χειρόγραφα λοιπὸν Σύμϐολα διαῤῥήδην μαρτυροῦσιν ἡμῖν ὅ,τι καὶ τῶν Συνόδων τὰ πρακτικὰ καὶ τῶν Πατέρων ἁπάντων τὰ συγγράμματα, ἀπὸ τοῦ μεγάλου Ἀθανασίου μέχρι Γενναδίου τοῦ Σχολαρίου· ὅτι δηλαδὴ οὐδαμῶς ἐννοητέον πρὸ τοῦ Θ′ ἄρθρου τοῦ Συμϐόλου τὸ ῥῆμα "πίστεύω", ἀλλ' ἀναγνωστέον ἄνευ τελείας στιγμῆς

μετὰ τὴν λέξιν "προφητῶν", καὶ ἑρμηνευτέον κατὰ Φώτιον, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν Προφητῶν εἰς τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ἥτις ἐστὶ μία, ἁγία, καθολικὴ καὶ Ἀποστολική. Πᾶσα ἄλλη ἑρμηνεία λίαν ἐστὶ παράλογος καὶ παρακεκινδυνευμένη, ὡς δείκνυται ἐν τῇ ὑπὸ τοῦ μακαρίτου Ἀλεξάνδρου Στούρτζα μεταπεφρασμένῃ Κατηχήσει, ἧς ἀρχόμενος ἐμνημόνευσα. Ἐπειδὴ ἐν τῇ Κατηχήσει ἐκείνῃ τὸ Θ′ ἄρθρον ἑρμηνεύεται καθ' ὑπεννόησιν τοῦ ῥήματος "πιστεύω", τελείας στιγμῆς τιθεμένης μετὰ τὴν λέξιν "προφητῶν", ὁ κατηχητὴς ἀναγκάζεται ἐρωτῆσαι τὸν κατηχούμενον τὴν παράδοξον ταύτην ἐρώτησιν—"Μήπως τὸ ἅγιον Πνεῦμα ἐλάλησε καὶ διὰ τῶν Ἀποστόλων;" ὁ δὲ κατηχούμενος ἀποκρίνεται· "Οὕτως ἔχει· « ὅθεν λέγει ὁ αὐτὸς Ἀπόστολος Πέτρος—οἷς (τοῖς « προφήταις) ἀπεκαλύφθη ὅτι οὐχ ἑαυτοῖς, ἡμῖν δὲ « διηκόνουν αὐτά, ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγ- « γελισαμένων ὑμᾶς ἐν Πνεύματι ἁγίῳ ἀποσταλέντι « ἀπ' οὐρανοῦ". (Πέτρου Α′ καθολ. Ἐπ. Α′, 12). Ἕπεται δὲ μετὰ ταύτην ἄλλη ἐρώτησις πολὺ παραδοξοτέρα καὶ ἀτοπωτέρα, ἐν ᾗ ὁ μὲν κατηχητὴς ἐρωτᾷ· "Διὰ τί καὶ περὶ τῶν Ἀποστόλων οὐκ ἀναφέρει τὸ Σύμβολον;" ὁ δὲ κατηχούμενος ἀποκρίνεται· "Διότι « καθ' ἣν ἐποχὴν ἐγράφη τὸ Σύμβολον, οὐδεὶς ἀμφέ- « βαλλε διὰ τὸ θεόπνευστον τῶν Ἀποστόλων". Καὶ

λοιπόν, εἰ μετὰ ταῦτα ἀνεφαίνετό τις ἀμφιβολία περὶ τοῦ θεοπνεύστου τῶν Ἀποστόλων, ἄλλη πάλιν Σύνοδος ἔμελλε συνελθεῖν, καὶ τρίτη τοῦ Συμβόλου ἀναπλήρωσις ἔμελλε γενέσθαι. Ἀλλὰ τί τούτων καὶ τῶν τοιούτων ἀτοπώτερον καὶ παραλογώτερον; Πάντα δὲ ταῦτα τὰ ἄτοπα καὶ παράλογα, πρόσθες καὶ ἀσεβῆ, ἐκλείπουσιν, ἐὰν ὁ ἐμπρόθετος προσδιορισμὸς "εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν" ἀποδοθῇ ὅπου κυρίως ἀνήκει, τουτέστιν εἰς τὴν ἀμέσως ἡγουμένην Μετοχὴν "λαλῆσαν". Αὐτὴ μάλιστα τοῦ Ἀποστόλου Πέτρου ἡ ῥῆσις, ἣν ὁ κατηχητὴς παρατίθεται, ὅπως ἀποδείξῃ, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε καὶ διὰ τῶν Ἀποστόλων, μαρτυρεῖ σαφέστατα ὑπὲρ τῆς τοιαύτης ἀποδόσεως τοῦ ἐμπροθέτου προσδιορισμοῦ. Ταύτῃ δὲ προσθετέον καὶ τὴν ἀμέσως ἡγουμένην ἐν τῷ αὐτῷ κεφαλαίῳ τῆς τοῦ Πέτρου Α΄ καθολ. Ἐπιστολῆς· "περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξ-
« ηρεύνησαν προφῆται οἱ περὶ τῆς εἰς ἡμᾶς χάριτος
« προφητεύσαντες, κ. τ. λ." ἔτι δὲ καὶ τὸ ἐν τῇ Β΄ καθολ. Ἐπιστολῇ τοῦ αὐτοῦ Ἀποστόλου (Α΄, 19—21) λεγόμενον· "καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν
« λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, κ. τ. λ." Καὶ μόνα ἄρα ταῦτα τὴν τοιαύτην ἑρμηνείαν τοῦ Συμβόλου ὑπαγορεύουσι; Τί ἄλλο ἢ τοῦτο μαρτυρεῖ τὸ ἐν ἀρχῇ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς τοῦ θείου Παύλου εἰρημένον· "ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, ὃ προ-

« επηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς « ἁγίαις;" Τί ἄλλο τὸ τοῦ αὐτοῦ Παύλου (αὐτ. ΙΕ', 4) "ὅσα γὰρ προεγράφη εἰς τὴν ἡμετέραν διδασκαλίαν « προεγράφη;" Τί ἄλλο τὸ ἐν τέλει τῆς αὐτῆς ἐπιστολῆς· "φανερωθέντος δὲ νῦν διά τε γραφῶν προφη- « τικῶν, κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν « πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος;" Τί ἄλλο τὸ τοῦ αὐτοῦ Παύλου ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ (Γ', 24)· "ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν « εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν;" Τί ἄλλο τὸ τοῦ αὐτοῦ ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ (Β', 14—22)· "Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας « τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγ- « μοῦ λύσας... ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα « καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην... Ἄρα οὖν οὐκέτι « ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων « καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ « θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφη- « τῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, « κ. τ. λ.;" Τί ἄλλο τὰ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ ἐν κεφαλαίῳ Α', 70· "Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν « ἐν τῷ οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ, καθὼς ἐλά- « λησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος « προφητῶν αὐτοῦ;" Τί ἄλλο τὸ τοῦ αὐτοῦ Λουκᾶ (ΙΗ', 31)· "Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ « τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφη-

« τῶν τῷ υἱῷ τοῦ ἀνθρώπου;" Ταῦτα πάντα, καὶ μυρία ἄλλα τοιαῦτα, τί ἄλλο σημαίνουσιν, ἢ τὸ ἐν τῷ Συμβόλῳ τῆς πίστεως ὑφ' ἡμῶν ὁμολογούμενον; Ἐπειδὴ δὲ "οὐ θελήματι ἀνθρώπων ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ Πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν οἱ ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι", ὁμολογοῦμεν λοιπὸν ἐν τῷ Συμβόλῳ τῆς πίστεως οὐχὶ ὅτι πιστεύομεν εἰς μίαν Ἐκκλησίαν (ἄπαγε!), ἀλλ' ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν· τοῦθ' ὅπερ ὁ Λουγδούνων Ἐπίσκοπος Εἰρηναῖος δύο περίπου πρὸ τῆς ἐν Νικαίᾳ Συνόδου αἰῶνας ἐδίδαξεν εἰπών, ὅτι τὸ Πνεῦμα τὸ ἅγιόν « ἐστι τὸ διὰ τῶν Προφητῶν ἀνακεκηρυχὸς τὰς οἰκονο-« μίας καὶ τὰς ἐλεύσεις".

Οὕτω δὴ σαφῶς καὶ καθαρῶς διευκρινηθέντος τοῦ πρώτου τῶν τεθειμένων ζητημάτων, ἄγε νῦν ἐν τῇ αὐτῇ μεθόδῳ καὶ τὸ δεύτερον ἐξετάσωμεν, αὐτὰ διεξερχόμενοι τὰ πράγματα, καὶ ἐντεῦθεν συνάγοντες ὅ,τι μεμαρτυρημένον καὶ ἀληθές, ὅ,τι ὀρθόν, ὅ,τι εὐσεβές. Εἰς τὴν τοιαύτην ἐξέτασιν μεταβαίνω ἤδη· σὺ δέ, φίλτατε, "ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς, καὶ δεῦρο ἀκολούθει μοι," προσέχων τοῖς λεγομένοις.

Β'.

Πότε λοιπὸν καὶ πόθεν ὑπεισῆλθεν εἰς ἡμᾶς ἡ πλάνη τοῦ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω;"

Τὸ καλούμενον Ἀποστολικὸν Σύμβολον.

Ἀναντίῤῥητόν ἐστιν ὅτι πρὸ τῆς συντάξεως τοῦ ἐν Νικαίᾳ Συμβόλου, ὃ κοινῇ συμπάσης τῆς Ἐκκλησίας ψήφῳ κατέστη κανὼν πίστεως, καθ' ὃν πᾶς εἰς Χριστὸν πιστεύων βαπτίζεται, καθ' ὃν πᾶς λειτουργὸς τῆς τοῦ Χριστοῦ Ἐκκλησίας χειροτονεῖται, κ. τ. λ., ὑπῆρχον κατὰ τόπους Σύμβολα τὸν κανόνα καὶ τὴν ὁμολογίαν τῆς πίστεως περιέχοντα, καὶ παραλλάσσοντα μὲν ἐνιαχοῦ κατὰ τὴν φράσιν, κατὰ δὲ τὴν ἔννοιαν ἅπαντα συμφωνοῦντα, ὡς μίαν καὶ τὴν αὐτὴν ἔχοντα βάσιν, τὴν ὑπὸ τοῦ Σωτῆρος δεδομένην ἐντολὴν τοῖς ἑαυτοῦ μαθηταῖς καὶ Ἀποστόλοις· "Πορευθέντες μαθητεύ-« σατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνο-« μα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύμα-« τος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετει-« λάμην ὑμῖν". Κατὰ δὴ τὴν ἐντολὴν ταύτην οἱ Ἀπόστολοι καὶ ἐδίδασκον καὶ ἐβάπτιζον, ὡς ἐν ταῖς Πράξεσιν αὐτῶν, ἃς ὁ θεῖος Λουκᾶς συνεγράψατο, πανταχοῦ μαρτυρεῖται· ἀλλ' ἔγγραφον ὁμολογίαν πί-

στεως οὐ κατέλιπον, ὥς τινες παραλόγως ἰσχυρίσαντο λέγοντες, ὅτι, πρὶν ἢ διασπαρῶσιν εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου, πάντες ἅμα σύνοδον ποιησάμενοι, συνέταξαν Σύμβολον πίστεως καὶ κατέλιπον αὐτὸ ἔγγραφον. Ὁ δὲ πάντων παραλογώτατον, ὅτι καὶ τὰς λέξεις αὐτὰς παρατίθενται, ἃς ἕκαστος τῶν Ἀποστόλων ὑπηγόρευσεν εἰς τὴν σύνταξιν τοῦ Συμβόλου τούτου. Καὶ λέγουσι λοιπόν, ὅτι

ὁ μὲν Πέτρος εἶπε.—Πιστεύω εἰς Θεὸν Πατέρα παντοκράτορα.

ὁ δὲ Ἰωάννης.—τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς.

ὁ δὲ Ἰάκωβος.—Πιστεύω καὶ εἰς Ἰησοῦν Χριστόν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν Κύριον ἡμῶν.

ὁ δὲ Ἀνδρέας.— τὸν συλληφθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου.

ὁ δὲ Φίλιππος. — παθόντα ἐπὶ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα καὶ ταφέντα.

ὁ δὲ Θωμᾶς.—κατελθόντα εἰς ᾄδου, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν.

ὁ δὲ Βαρθολομαῖος. — ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρὸς παντοκράτορος.

ὁ δὲ Ματθαῖος.—ἐκεῖθεν ἐλευσόμενον κρῖναι ζῶντας καὶ νεκρούς.

ὁ δὲ Ἰάκωβος ὁ τοῦ Ἀλφαίου.— Πιστεύω καὶ εἰς Πνεῦμα ἅγιον, ἁγίαν Ἐκκλησίαν καθολικήν.

ὁ δὲ Σίμων ὁ ζηλωτής.— ἁγίων κοινωνίαν, ἄφεσιν ἁμαρτιῶν.

ὁ δὲ Ἰούδας ὁ ἀδελφὸς τοῦ Ἰακώβου.—σαρκὸς ἀνάστασιν.

ὁ δὲ Ματθίας τὸ τέλος.—ζωὴν αἰώνιον. Ἀμήν.

Τοιοῦτον παραδίδωσι τὸ καλούμενον Σύμβολον τῶν Ἀποστόλων ὁ γράψας τὸν εἰς τὸν ἱερὸν Αὐγουστῖνον ψευδῶς ἀποδιδόμενον Λόγον, De Tempore, ὅθεν μετέφρασά σοι τὸ Σύμβολον τοῦτο, οὐδὲν ἄλλο ὄν, ἢ τὸ ἀρχαῖον τῆς ἐν Ῥώμῃ Ἐκκλησίας Σύμβολον, ἐπιμελῶς διαμεμερισμένον εἰς δώδεκα μέρη, ὧν ἕκαστον ἐξῆλθε δῆθεν ἐκ τοῦ στόματος ἑκάστου τῶν δώδεκα Ἀποστόλων, ἵνα καὶ τοῦτο ἔχῃ ἡ Λατινικὴ Ἐκκλησία Ἀποστολικόν, ὡς ἁπασῶν τῶν ἄλλων ὑπερτέρα, καὶ ἁπασῶν κεφαλή. Ὡς δὲ καὶ τἆλλα πάντα τῆς Ἐκκλησίας ἐκείνης ποικίλα εἰσὶ καὶ παντοδαπὰ καὶ τεράστια, οὕτω καὶ τὸ ἐν αὐτῇ πρώτῃ ἀναφυὲν Ἀποστολικὸν τοῦτο Σύμβολον ὑπὸ παντοίας παρίσταται ὄψεις ἐν τοῖς χειρογράφοις καὶ ἐν ταῖς ἐκδόσεσιν αὐτοῦ· λέγεται δέ, ὅτι καὶ Ἑλληνικὸν αὐτοῦ χειρόγραφον εὕρηται ἐν ταῖς ἐν Ῥώμῃ βιβλιοθήκαις, καὶ ἄλλα πολλὰ κατὰ τὸ σύνηθες περὶ αὐτοῦ ἱστοροῦνται.

Ἀλλ' ἡ ἡμετέρα ὀρθόδοξος Ἐκκλησία οὐδέποτε τὸ Σύμβολον τοῦτο ἀπεδέξατο, ὡς οὐδαμοῦ τῶν Πράξεων τῶν Ἀποστόλων μνημονευόμενον, οὐδὲ ἄλλοθεν οὐδαμόθεν γινωσκόμενον, ἢ ἐκ τῆς πολυπράγμονος ἐκείνης

αὐθαδείας, ἐξ ἧς καὶ ἄλλα οὐκ ὀλίγα παρατράγῳδα ὁ Χριστιανικὸς Κόσμος εἶδε προελθόντα, καὶ νῦν ἔτι βλέπει προερχόμενα. Διὸ καὶ ἐν τῇ περιφήμῳ Συνόδῳ τῇ ἐν Φλωρεντίᾳ, Ἰουλιανοῦ τοῦ Καρδιναλίου διϊσχυριζομένου, ὅτι ἠδύναντο προσθεῖναι ἐν τῷ Συμβόλῳ τὰς λέξεις "καὶ ἐκ τοῦ Υἱοῦ", καὶ ἄλλως μεταβαλεῖν αὐτό, ὡς καὶ ἡ Α΄ οἰκουμεν. Σύνοδος μετέβαλε τὸ τῶν Ἀποστόλων, ὅπερ ἐκεῖνοι εἰς ἰδίαν συνελθόντες Σύνοδον ἔγραψαν καὶ παρέδωκαν ταῖς ὑπ' αὐτῶν συστάσαις Ἐκκλησίαις, ὁ θαυμάσιος Μάρκος ὁ Ἐφέσου πρὸς τὰ τοῦ Ἰουλιανοῦ ταῦτα ἀποκρινόμενος, "Ἡμεῖς, εἶπεν, « οὔτε ἔχομεν, οὔτε εἴδομεν Σύμβολον τῶν Ἀποστό-« λων· σύνοδον δὲ Ἀποστόλων λέγεις τὴν συνέλευσιν « ἐκείνην, καθ' ἣν συνελθόντες διωρίσαντο ἀπέχεσθαι « τῶν εἰδωλοθύτων... πλὴν οὐκ ὀνομάζεται ἐκείνη « Σύνοδος τῶν Ἀποστόλων".[67] Ἄλλως τε δέ, εὐκόλως ἕκαστος ἐννοεῖ, ὅτι, εἰ ὑπῆρχε Σύμβολον ὑπ' αὐτῶν τῶν Ἀποστόλων συντεταγμένον, καὶ ταῖς ὑπ' αὐτῶν συστάσαις Ἐκκλησίαις παραδεδομένον, οὐδεμία ἦν ἀνάγκη συντάξεως τοῦ ἐν Νικαίᾳ Συμβόλου· ὥστε προφανῶς τὸ καλούμενον Ἀποστολικὸν Σύμβολον πολὺ μεταγενέστερόν ἐστιν ἔργον, καὶ εὐλόγως ἀπεδοκιμάσθη πάντοτε ὑπὸ τῆς ἡμετέρας ὀρθοδόξου Ἐκκλησίας, ἀποδεχομένης ἄλλως ὡς γνήσια τῶν Ἀποστόλων

---

[67] Σ. Συροπούλου Ἱστορία τῆς ἐν Φλωρεντίᾳ Συνόδου, τμ. ΣΤ΄, κεφ. Θ.

ἔργα τοὺς καλουμένους Ἀποστολικοὺς κανόνας, ὀγδοήκοντα πέντε τὸν ἀριθμόν, καὶ τὰς καλουμένας Ἀποστολικὰς Διατάξεις. Οἱ πλεῖστοι καὶ ἄριστοι τῶν περὶ τοῦ Συμβόλου τούτου γραψάντων συμφωνοῦσιν, ὅτι τοῦτό ἐστιν, ὡς ἄρτι ἔλεγον, τὸ ἀρχαῖον τῆς ἐν Ῥώμῃ Ἐκκλησίας Σύμβολον, εἰς ὃ ἀπεδόθη τὸ ὄνομα Ἀποστολικόν, ὅτε οἱ τὴν Ἐκκλησίαν ἐκείνην διέποντες ἤρξαντο βουλεύεσθαι περὶ πρωτείων ἀθεμίτων, καὶ πάντα τὰ ἑαυτῶν ἀπεκάλουν Ἀποστολικά, τὴν Ἐκκλησίαν αὐτῶν μόνην καθολικὴν καὶ Ἀποστολικήν, τὸν Ἐπίσκοπον αὐτῆς ἄμεσον διάδοχον τοῦ Ἀποστόλου Πέτρου, τὰ πρωτεῖα αὐτοῦ Ἀποστολικά, καὶ τὸ Σύμβολον αὐτῶν Ἀποστολικόν, καὶ ἄλλα τοιαῦτα, ἵνα καταντήσωσί ποτε εἰς ὃ καὶ κατήντησαν ἀσεβέστατον δίδαγμα, ὅτι ἡ ἐν τῷ Συμβόλῳ μνημονευομένη καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία ἐστὶν ἡ ἐν Ῥώμῃ, εἰς ἣν πάντες ὀφείλουσι πιστεύειν, ὡς διδάσκει τὸ Σύμβολον, καὶ ὅτι ἔξω τῆς Ἐκκλησίας ταύτης, τῆς μόνης καθολικῆς καὶ Ἀποστολικῆς, οὐκ ἔστι σωτηρία· τοῦτο δὲ μετ' ὀλίγον ὄψει διὰ πραγμάτων πιστοποιούμενον. Ἀλλ' ἱκανὰ ταῦτα περὶ τοῦ καλουμένου Ἀποστολικοῦ Συμβόλου.

Τὰ κατὰ τόπους πρὸ τῆς ἐν Νικαίᾳ Α' Συνόδου ἐπικρατοῦντα Σύμβολα.

Οὐδὲν λοιπὸν τῶν Ἀποστόλων καταλιπόντων ἔγγραφον Σύμβολον, ἡ μετὰ τὸν θάνατον αὐτῶν διὰ τῶν διαδεξαμένων αὐτοὺς θεοφόρων κηρύκων τοῦ Εὐαγγελίου ἐξάπλωσις τοῦ Χριστιανισμοῦ, καὶ ἡ εὐθὺς ἐξ

ἀρχῆς ἀναφανεῖσα τάσις αἱρετικῶν τινῶν πρὸς μεταβολὴν καὶ ἀνατροπὴν τοῦ Ἀποστολικοῦ κηρύγματος, ὑπηγόρευσαν τὴν ἀνάγκην τῆς κατὰ τόπους συντάξεως Συμβόλων, ἤτοι κανόνων τῆς πίστεως, ἐν κεφαλαίῳ διδασκόντων τοὺς πιστοὺς τὰ κυριώτατα ὧν χρὴ πιστεύειν. Τότε καὶ Κλήμης ὁ Ῥώμης Ἐπίσκοπος, σύγχρονος γενόμενος τοῖς Ἀποστόλοις, ἀποθανὼν δὲ περὶ τὸ 100ὸν ἔτος μ. Χρ., συντάξας ἐξέδωκε τοὺς καλουμένους Ἀποστολικοὺς κανόνας καὶ τὰς Ἀποστολικὰς Διατάξεις·[68] καὶ οἱ ἄλλοι δέ, οἱ τῷ Κλήμεντι σύγχρονοι, καὶ διὰ τοῦτο Ἀποστολικοὶ Πατέρες καλούμενοι, μάλιστα δὲ Ἰγνάτιος ὁ Θεοφόρος καὶ Πολύκαρπος ὁ Σμύρνης Ἐπίσκοπος, διετύπωσαν ἐν τοῖς Λόγοις καὶ ἐν ταῖς ἐπιστολαῖς αὐτῶν κεφαλαιώδη ἔκθεσιν, ἤτοι Σύμβολον πίστεως, τοῦτο μόνον διδάσκοντος, τὸ πιστεύειν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα. Μετὰ τοὺς Ἀποστολικοὺς Πατέρας, ὅσῳ μᾶλλον ἐξηπλοῦτο ὁ Χριστιανισμός, καὶ παντοῖαι τὴν Ἐκκλησίαν διετάρασσον αἱρέσεις, τοσούτῳ μᾶλλον οἱ τῆς Ἀποστολικῆς διδασκαλίας ἀντεχόμενοι, καὶ τῆς ὀρθο-

---

[68] Εἰσὶ δὲ καὶ οἱ λέγοντες, ὅτι οὐχ ὁ Ῥώμης Ἐπίσκοπος Κλήμης, ἀλλ' ὁ μετ' ἐκεῖνον 100 περίπου ἔτη ἀκμάσας Κλήμης ὁ Ἀλεξανδρεὺς ἐξέδωκε τοὺς Ἀποστολικοὺς κανόνας καὶ τὰς διατάξεις.—Ἴδε πλείω περὶ τούτου ἔν τε τῷ Κλήμεντος βίῳ (Πατρολογία Κ. Κοντογόνου, τόμ. Α', ἐν ἀρχῇ) καὶ ἐν τῇ τοῦ μακαρίτου Κ. Οἰκονόμου Ἐπιστολιμαίᾳ διατριβῇ "περὶ τῶν τριῶν ἱερατικῶν τῆς Ἐκκλησίας βαθμῶν".

δοξίας προστατοῦντες, συνέτασσον κατὰ τόπους σύμβολα, διδάσκοντα τὴν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα πίστιν· τοιαῦτα δὲ σύμβολα διακρίνονται περίπου πεντεκαίδεκα ἐν τοῖς συγγράμμασι τῶν Πατέρων, τῶν πρὸ τῆς ἐν Νικαίᾳ Συνόδου ἀκμασάντων, οἷοί πέρ εἰσιν οἱ ἄρτι μνημονευθέντες τρεῖς Ἀποστολικοὶ Πατέρες, καὶ μετ' αὐτοὺς Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς, Εἰρηναῖος ὁ Λουγδούνων Ἐπίσκοπος, Τερτυλλιανός, Κυπριανός, Γρηγόριος ὁ Νεοκαισαρείας, ὁ ἐπικαλούμενος Θαυματουργός, Λουκιανὸς ὁ μάρτυς, καὶ ἄλλοι τινές· ἁπάντων δὲ τούτων τὰ Σύμβολα οὐδὲν πλέον, οὐδὲν ἔλαττον διδάσκουσιν, ἢ πιστεύειν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα. Ἐπεκαλοῦντο δὲ τὰ Σύμβολα ταῦτα ἐκ τοῦ τόπου, καθ' ὃν ἕκαστον ἐπεκράτει, ὡς, παραδείγματος χάριν, Σύμβολον Ῥώμης (τοῦτο δὴ τὸ μετὰ ταῦτα ἐπικληθὲν Ἀποστολικόν), Σύμβολον Ἀκυληΐας, Σύμβολον Ἀλεξανδρείας, Σύμβολον Ἱεροσολύμων, Σύμβολον Ἀντιοχείας, κ. τ. λ. Ἀλλά, καθὼς καὶ πρὸ μικροῦ ἔλεγον, οὐδὲν τῶν Συμβόλων τούτων εἶχε γενικὸν κῦρος, εἰ καὶ πάντα μίαν καὶ τὴν αὐτὴν ἐδίδασχον πίστιν, τὴν ὑπὸ τοῦ Σωτῆρος καὶ τῶν Ἀποστόλων παραδοθεῖσαν. Εὐκολώτατόν ἐστι πάντων τούτων τῶν Συμβόλων παραθεῖναί σοι τὸ κείμενον ἔκ τε τῶν συγγραμμάτων τῶν ἄρτι μνημονευθέντων Πατέρων καὶ ἐκ νεωτέρων, μάλιστα δὲ ἐκ τοῦ μεγάλου συγγράμματος τοῦ Bingham, ἐκ τοῦ Harvey καὶ ἐκ τοῦ

Heurtley, καὶ ἄλλων, ἐν οἷς πάντα κατὰ χρονολογικὴν τάξιν ὑπάρχουσιν ἐκτεθειμένα, τά τε ἐν τῇ Ἀνατολῇ καὶ τὰ ἐν τῇ Δύσει καὶ Ἀφρικῇ ἐπικρατοῦντα τότε Σύμβολα· ἀλλὰ συντομίας χάριν παραλείπω τὸ ἀντιγράψαι σοι αὐτά· ἄλλως τε δέ, τινὰ τούτων, οἷα τὸ ψευδαποστολικὸν τῆς Ῥώμης, τὸ τοῦ Εἰρηναίου, τὸ τοῦ Ἀρείου, (ὅ τινες κακῶς ὀνομάζουσι Σύμβολον τῆς Ἀλεξανδρείας[69]), τὸ τῶν Ἱεροσολύμων (ὡς κακῶς ὀνομάζεται τὸ ἐν ταῖς Ἀρειαναῖς Κατηχήσεσι τοῦ Κυρίλλου ἑρμηνευόμενον), παρέθηκά σοι ἐν τοῖς ἔμπροσθεν. Τοῦτο δὲ μόνον λέγω, ὅτι, ἐξαιρουμένου τοῦ Ἀρειανοῦ Συμβόλου, οὐδὲν ἄλλο τῶν ἐν τῇ Ἀνατολῇ περιεῖχε τὸ "πιστεύομεν εἰς τὴν Ἐκκλησίαν", ἀλλ' ἐν ἅπασιν ὡμολογεῖτο πίστις εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, "τὸ διὰ τῶν Προφητῶν κεκηρυχὸς τὰς οἰκονομίας καὶ τὰς ἐλεύσεις", ὡς λέγεται ἐν τῷ Συμβόλῳ τοῦ Εἰρηναίου· ὅπερ οὐδὲν διαφέρει τοῦ λεγομένου ἐν τῷ Συμβόλῳ τῆς Κωνσταντινουπόλεως, "τὸ λαλῆσαν διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν". Τοὐναντίον δέ, πάντα τὰ ἐν τῇ Δύσει

---

[69] Ἡ ὑπὸ Ἀρείου καὶ Εὐζωΐου ὑποβληθεῖσα τῷ μεγάλῳ Κωνσταντίνῳ ἔκθεσις πίστεως οὐ δύναται εὐλόγως ὀνομασθῆναι Σύμβολον τῆς Ἀλεξανδρείας· τοιοῦτο δὲ μᾶλλον ἦν τὸ περιεχόμενον ἐν τῇ τοῦ μεγάλου Ἀθανασίου Ἐκθέσει τῆς πίστεως.

καὶ ἐν τῇ Ἀφρικῇ ἐπικρατοῦντα Σύμβολα (πλὴν τοῦ ὑπὸ Τερτυλλιανοῦ διδασκομένου, ὅπερ ἐστὶν ὅμοιον τοῖς ἐν τῇ Ἀνατολῇ) μετὰ τὴν ὁμολογίαν τῆς πίστεως εἰς τὴν ἁγίαν Τριάδα προσετίθουν καὶ τὸ "πιστεύειν ἁγίαν Ἐκκλησίαν", ἢ "πιστεύειν ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον διὰ τῆς ἁγίας Ἐκκλησίας"—Credo sanctam Ecclesiam—ἢ—Credo remissionem peccatorum et vitam æternam per sanctam Ecclesiam.—Ἐν τούτῳ δὴ κεῖται ἡ ἀρχικὴ αἰτία τῆς μετέπειτα διαδοθείσης καὶ ἐν τῇ Ἀνατολῇ διδασκαλίας τοῦ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ ἡμετέρου Συμβόλου τὸ ῥῆμα "πιστεύω". Καὶ ἰδοὺ πῶς.

Λατινικὴ μετάφρασις τοῦ Συμβόλου.

Μετὰ τὴν συμπλήρωσιν τοῦ Συμβόλου τῆς Νικαίας, τὴν ἐν τῇ Β' οἰκουμενικῇ Συνόδῳ γενομένην, καὶ πρὸς τοῖς ἄλλοις ἰδιώμασι τοῦ παναγίου Πνεύματος διδάσκουσαν, ὅτι ἐλάλησε διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν, οἱ τὸ Σύμβολον ἐκεῖνο Λατινιστὶ μεταφράσαντες, τελείαν στιγμὴν μετὰ τὴν λέξιν "προφητῶν" γράψαντες, ἢ καὶ εὑρόντες αὐτὴν οὕτω γεγραμμένην πρὸς διάκρισιν τῶν ἄρθρων, ἐχώρισαν τὰ ἐφεξῆς εἰς ἰδίαν πρότασιν, προσθέντες μὲν τὸν σύνδεσμον ΚΑΙ, ὅπως ἐννοῆται αὖθις τὸ ῥῆμα "πιστεύω", ἀφελόντες δὲ τὴν πρόθεσιν ΕΙΣ, ὅπως μὴ λέγωσιν, ὅτι πιστεύουσιν εἰς τὴν Ἐκκλησίαν (ὅπερ ἐγίνωσκον ὅτι οὐκ ἔξεστι), ἀλλ' ὅτι πιστεύουσι μίαν εἶναι τὴν Ἐκκλησίαν, ὅπερ οὐδεὶς

ἀρνεῖται. Ἰδοὺ ἡ μετάφρασις αὕτη τοῦ Συμβόλου, οἵα εὕρηται ἐν ταῖς ἐκδόσεσι τῶν πρακτικῶν τῶν Συνόδων. —Credimus in unum Deum... et in unum Dominum Jesum Christum... et in Spiritum Sanctum, Dominum et vivificantem, ex Patre procedentem, cum Patre et Filio adorandum et conglorificandum, qui loquutus est per sanctos Prophetas. Et[70] unam sanctam catholicam et Apostolicam Ecclesiam. Confitemur unum baptisma in remissionem peccatorum. Expectamus resurrectionem mortuorum: et vitam futuri sæculi. Amen.

Ἐκ τῆς ἡμαρτημένης ταύτης μεταφράσεως τὸ Σύμβολον παρεποιήθη εὐθὺς ἐξ ἀρχῆς· διότι ὁμολογουμένως ἐν τούτῳ τῷ μέρει ἡ μετάφρασις οὐσιωδῶς διαφέ-

---

[70] Ποῦ τοῦ Ἑλληνικοῦ κειμένου εὗρον τοῦτον τὸν ΚΑΙ οἱ μεταφρασταί; ποῦ δὲ ἀπερρίφθη ἡ ἐν τῷ Ἑλληνικῷ κειμένῳ ὑπάρχουσα πρόθεσις ΕΙΣ; Εἰπάτωσαν οἱ τὴν Λατινικὴν ταύτην μετάφρασιν ἀσπαζόμενοι, καὶ κατ' αὐτὴν ἑρμηνεύοντες τὸ ἡμέτερον Σύμβολον. Καὶ οὐδὲν μὲν θαυμαστόν, εἰ ξένοι Ἑλληνισταὶ ἐπλανήθησαν ἐν τῇ τοῦ Συμβόλου μεταφράσει. Ὅτι δὲ Ἕλληνες ἄνδρες, καὶ Ἀρχιερεῖς τῆς ὀρθοδόξου Ἐκκλησίας, ἐπιμένουσιν εἰς τὸ ἀναγινώσκειν καὶ ἑρμηνεύειν τὸ Σύμβολον κατὰ τὴν ἡμαρτημένην Λατινικὴν μετάφρασιν, τοῦτο οὐ μόνον ἐστὶ θαυμαστόν, ἀλλὰ καὶ τιμωρίας ἄξιον. Ἐπέβαλε δὲ τοῖς τοιούτοις Ἀρχιερεῦσι τὴν προσήκουσαν ποινὴν ἡ τρίτη οἰκουμενικὴ Σύνοδος, ὁρίσασα τάδε. "Τοὺς δὲ τολμῶντας ἢ συν« τιθέναι πίστιν ἑτέραν... τούτους, εἰ μὲν εἶεν Ἐπίσκοποι ἢ κληρικοί, « ἀλλοτρίους εἶναι τοὺς Ἐπισκόπους τῆς ἐπισκοπῆς καὶ τοὺς κληρι« κοὺς τοῦ κλήρου· εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι". Εἰσὶ λοιπὸν οἱ τοιοῦτό τι τολμῶντες κληρικοὶ ἀλλότριοι τοῦ κλήρου καὶ αὐτοκαθαίρετοι.

ρει τοῦ πρωτοτύπου Ἑλληνικοῦ κειμένου. Ἀλλ' ὁμολογητέον ὅτι ἡ παραποίησις αὕτη (ὡς ἐγὼ τοὐλάχιστον νομίζω) οὐκ ἐγένετο ἐπίτηδες καὶ ἐκ προαιρέσεως, ἀλλ' ἐξ ἀγνοίας· οἱ δὲ μεταφρασταὶ ἀγνοήσαντες τὴν ἀληθῆ ἔννοιαν τοῦ μέρους τούτου τοῦ Συμβόλου, μετέφρασαν αὐτὸ κατὰ τὰ ἐν τῇ Δύσει πρότερον ἐπικρατοῦντα Σύμβολα, ἐν οἷς, ὡς ἄρτι εἴδομεν, μετὰ τὴν ὁμολογίαν τῆς εἰς τὴν ἁγίαν Τριάδα πίστεως εἵπετο πάντοτε τὸ "Credo sanctam Ecclesiam". Ἐν ἄλλαις λέξεσιν, ἐσκέφθησαν καὶ οὗτοι, ὡς ἐγώ, ὅτε κατέκρινον τοὺς Πατέρας τῆς Β' οἰκουμεν. Συνόδου, ὅτι οὐ προσέθηκαν τὸν σύνδεσμον **ΚΑΙ**, ὅπως ὑποδεικνύηται τὸ ἀπὸ κοινοῦ ἐννοεῖν τὸ ῥῆμα "πιστεύω"· καὶ οὕτω σκεπτόμενοι ἐν τῇ πεποιθήσει, ὅτι τὸ ῥῆμα τοῦτο ἐξ ἅπαντος ἐννοεῖται ἐκεῖ, τὸν μὲν σύνδεσμον **ΚΑΙ** προσέθηκαν, τὴν δὲ πρόθεσιν **ΕΙΣ** ἀπέῤῥιψαν, φοβούμενοι μὴ μετὰ τοῦ δημιουργοῦ καὶ κτίστου τῶν ἁπάντων ὁμολογήσωσι πιστεύειν καὶ εἰς τὸ κτίσμα, τὴν Ἐκκλησίαν. Τοῦτο ῥητῶς διδάσκει ὁ Ῥουφῖνος, Πρεσβύτερος ὢν τῆς ἐν Ἀκυληΐᾳ Ἐκκλησίας, ἐν ᾗ ἔγραψεν ἑρμηνείᾳ τοῦ Συμβόλου (§ 36) λέγων· "*Sanctam Ecclesiam* « *Catholicam, remissionem peccatorum, carnis resur*- « *rectionem*.—Non dixit, *in* sanctam Ecclesiam Ca- « tholicam, nec *in* remissionem peccatorum, nec *in* « carnis resurrectionem: si enim addidisset, *in*, præ- « positionem, una cum superioribus eademque vis

« fieret. Nunc autem in illis quidem vocabulis, ubi de
« Divinitate ordinatur fides, in Deo Patre dicitur, et
« in Christo Filio ejus, et in Spiritu sancto: in cæteris
« vero ubi non de Divinitate, sed de creaturis et de
« mysteriis sermo est, *in*, præpositio, non additur: ut
« dicatur, *in* sancta Ecclesia, sed sanctam Ecclesiam
« credentam esse: non ut Deum, sed ut Ecclesiam
« Deo congregatam. Et remissionem peccatorum
« credam esse, non *in* remissionem peccatorum: et
« resurrectionem carnis credant, non *in* resurrectio-
« nem carnis. Hac itaque præpositionis syllaba,
« Creator a creaturis secernitur, et divina sepa-
« rantur ab humanis. Hic igitur Spiritus sanctus
« est, qui in veteri Testamento Legem et Prophetas,
« in novo Evangelia et Apostolos inspiravit. Unde
« Apostolus dicit: *Omnis scriptura divinitus inspi-*
« *rata, utilis est ad docendum*" (Παῦλος πρὸς Τιμόθ.
Β', κεφ. Γ', 16.—Πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέ-
λιμος πρὸς διδασκαλίαν, κ. τ. λ.). Ταῦτα, ὡς βλέπεις,
οὐδὲν διαφέρουσι τῶν ἐν τοῖς ἔμπροσθεν ἐκ τοῦ Χρυ-
σοστόμου παρατεθειμένων, ὅτι "τοῦ αὐτοῦ Πνεύματός
« ἐστιν ἥ τε Καινὴ καὶ ἡ Παλαιά, καὶ τὸ αὐτὸ Πνεῦμα
« τὸ ἐν ἐκείνῃ φθεγξάμενον καὶ ἐν ταύτῃ ἐλάλησεν."
Ἀλλὰ καὶ τὰ περὶ τῆς *in* προθέσεως λεγόμενα οὐδὲν
διαφέρουσι τῶν ὑπὸ Γρηγορίου τοῦ Θεολόγου καὶ Ὠρι-
γένους καὶ Θεοφυλάκτου εἰρημένων (σελ. 29—30).

Ὡς ἐκεῖνοι διδάσκουσιν, ὅτι τὸ "πιστεύω εἰς" λέγεται μόνον πρὸς ἔκφρασιν πίστεως εἰς Θεόν, οὕτω καὶ ὁ Ῥουφῖνος, σύγχρονος ὢν τῷ Γρηγορίῳ, καὶ φίλος τῷ Ἱερωνύμῳ, πολλὰ ἔτη ἐν Ἱεροσολύμοις διατρίψας, καὶ κάλλιστα γινώσκων τὰ ἐν τῇ Ἀνατολῇ καὶ ἐν τῇ Δύσει καὶ Ἀφρικῇ ἐπικρατοῦντα Σύμβολα, καὶ τὴν ὀρθὴν τῆς Ἐκκλησίας διδασκαλίαν, ἀπαγορεύει τὸ προστιθέναι τὴν πρόθεσιν ΕΙΣ πρὸ τοῦ Θ' ἄρθρου, ἵνα μὴ ἐκφράζηται πίστις εἰς κτίσμα.[71] Τοῦτ' αὐτὸ λέγει καὶ ὁ γράψας

---

[71] Ὁ Ἄγγλος Ἐπίσκοπος John Pearson ἐν τῷ περιφήμῳ αὐτοῦ συγγράμματι "An Exposition of the Creed (σελ. 591—2, σημ. 53, τῆς πέμπτης ἐκδόσεως, Oxford, 1864), τὴν τοῦ Ῥουφίνου ταύτην παρατιθέμενος ἑρμηνείαν ἀποφαίνεται, ὅτι ταὐτόν ἐστιν εἰπεῖν "πιστεύω μίαν Ἐκκλησίαν", καὶ "πιστεύω εἰς μιαν Ἐκκλησίαν"· ἀμφότερα (λέγει) τὸ αὐτὸ σημαίνουσι, καί ἡ πρόσθήκη ἢ ἀφαίρεσις τῆς προθέσεως οὐ μεταβάλλει τὴν ἔννοιαν, ἥτις ἐστίν, ὅτι πιστεύω μίαν ὑπάρχειν ἁγίαν Ἐκκλησίαν—I believe there is an holy Church.—τοῦτο δὲ συμπεραίνει ἐκ τῆς ἀδιαφόρου χρήσεως, ἣν οἱ Πατέρες τῆς τε Ἀνατολικῆς καὶ τῆς Δυτικῆς Ἐκκλησίας ἐποιοῦντο, ποτὲ μὲν μετὰ τῆς προθέσεως, ἄλλοτε δὲ ἄνευ αὐτῆς ἐκφράζοντες τὴν ἔννοιαν ταύτην, ὅτι δηλαδὴ "πιστεύω μίαν εἶναι τὴν Ἐκκλησίαν"· καὶ ἐπάγει ὡς παραδείγματα τὸ τοῦ Ἀρείου Σύμβολον καὶ τὸ λεγόμενον τοῦ Κυρίλλου, ἔτι δὲ καὶ τὸ ἐν τῷ Ἀγκυρωτῷ τοῦ Ἐπιφανίου, περὶ ὧν ἁπάντων ἱκανὰ εἴπομεν ἐν τοῖς ἔμπροσθεν. Ἀλλ' ὁ αὐτος Pearson (αὐτόθι) ὁμολογεῖ, ὅτι ἔν τισι μὲν τῶν ἐκδόσεων εὕρηται ἐν τοῖς τοιούτοις ἡ πρόθεσις ΕΙΣ, ἔν τισι δὲ ἀφῄρηται· ὃ καθίστησιν ἀμφίβολον τὴν γνησιότητα τῆς γραφῆς, καὶ ἅμα δείκνυσιν, ὅτι διὰ τοῦτο μάλιστα οἱ τὸ Σύμβολον ὀρθοδόξως ἑρμηνεύοντες ἐδίδασκον μὴ προστιθέναι τὴν πρόθεσιν, διότι ἐγίνωσκον, ὅτι ἐνίοτε ἤτοι ἐξ ἀγνοίας ἢ ἐξ ἀβλεψίας τῶν ἀντιγραφόντων προσετίθετο. Ἄλλως τε δέ, τί ἰσχύουσι δύο ἢ τρία παραδείγματα, τὰ μὲν ἀμφίβολα, τὰ δὲ ἐξ αἱρετικῶν λαμβανόμενα, ἀπέναντι τῆς ὁμοφώνου διδασκαλίας πάντων τῶν ὀρθοδόξων τῆς Ἐκκλησίας Πατέρων;

αὐθαδείας, ἐξ ἧς καὶ ἄλλα οὐκ ὀλίγα παρατράγῳδα ὁ Χριστιανικὸς Κόσμος εἶδε προελθόντα, καὶ νῦν ἔτι βλέπει προερχόμενα. Διὸ καὶ ἐν τῇ περιφήμῳ Συνόδῳ τῇ ἐν Φλωρεντίᾳ, Ἰουλιανοῦ τοῦ Καρδιναλίου διϊσχυριζομένου, ὅτι ἠδύναντο προσθεῖναι ἐν τῷ Συμβόλῳ τὰς λέξεις "καὶ ἐκ τοῦ Υἱοῦ", καὶ ἄλλως μεταβαλεῖν αὐτό, ὡς καὶ ἡ Α' οἰκουμεν. Σύνοδος μετέβαλε τὸ τῶν Ἀποστόλων, ὅπερ ἐκεῖνοι εἰς ἰδίαν συνελθόντες Σύνοδον ἔγραψαν καὶ παρέδωκαν ταῖς ὑπ' αὐτῶν συστάσαις Ἐκκλησίαις, ὁ θαυμάσιος Μάρκος ὁ Ἐφέσου πρὸς τὰ τοῦ Ἰουλιανοῦ ταῦτα ἀποκρινόμενος, "Ἡμεῖς, εἶπεν, « οὔτε ἔχομεν, οὔτε εἴδομεν Σύμβολον τῶν Ἀποστό- « λων· σύνοδον δὲ Ἀποστόλων λέγεις τὴν συνέλευσιν « ἐκείνην, καθ' ἣν συνελθόντες διωρίσαντο ἀπέχεσθαι « τῶν εἰδωλοθύτων... πλὴν οὐκ ὀνομάζεται ἐκείνη « Σύνοδος τῶν Ἀποστόλων".[67] Ἄλλως τε δέ, εὐκόλως ἕκαστος ἐννοεῖ, ὅτι, εἰ ὑπῆρχε Σύμβολον ὑπ' αὐτῶν τῶν Ἀποστόλων συντεταγμένον, καὶ ταῖς ὑπ' αὐτῶν συστάσαις Ἐκκλησίαις παραδεδομένον, οὐδεμία ἦν ἀνάγκη συντάξεως τοῦ ἐν Νικαίᾳ Συμβόλου· ὥστε προφανῶς τὸ καλούμενον Ἀποστολικὸν Σύμβολον πολὺ μεταγενέστερόν ἐστιν ἔργον, καὶ εὐλόγως ἀπεδοκιμάσθη πάντοτε ὑπὸ τῆς ἡμετέρας ὀρθοδόξου Ἐκκλησίας, ἀποδεχομένης ἄλλως ὡς γνήσια τῶν Ἀποστόλων

---

[67] Σ. Συροπούλου Ἱστορία τῆς ἐν Φλωρεντίᾳ Συνόδου, τμ. ΣΤ', κεφ. θ.

ἔργα τοὺς καλουμένους Ἀποστολικοὺς κανόνας, ὀγδοήκοντα πέντε τὸν ἀριθμόν, καὶ τὰς καλουμένας Ἀποστολικὰς Διατάξεις. Οἱ πλεῖστοι καὶ ἄριστοι τῶν περὶ τοῦ Συμβόλου τούτου γραψάντων συμφωνοῦσιν, ὅτι τοῦτό ἐστιν, ὡς ἄρτι ἔλεγον, τὸ ἀρχαῖον τῆς ἐν Ῥώμῃ Ἐκκλησίας Σύμβολον, εἰς ὃ ἀπεδόθη τὸ ὄνομα Ἀποστολικόν, ὅτε οἱ τὴν Ἐκκλησίαν ἐκείνην διέποντες ἤρξαντο βουλεύεσθαι περὶ πρωτείων ἀθεμίτων, καὶ πάντα τὰ ἑαυτῶν ἀπεκάλουν Ἀποστολικά, τὴν Ἐκκλησίαν αὐτῶν μόνην καθολικὴν καὶ Ἀποστολικήν, τὸν Ἐπίσκοπον αὐτῆς ἄμεσον διάδοχον τοῦ Ἀποστόλου Πέτρου, τὰ πρωτεῖα αὐτοῦ Ἀποστολικά, καὶ τὸ Σύμβολον αὐτῶν Ἀποστολικόν, καὶ ἄλλα τοιαῦτα, ἵνα καταντήσωσί ποτε εἰς ὃ καὶ κατήντησαν ἀσεβέστατον δίδαγμα, ὅτι ἡ ἐν τῷ Συμβόλῳ μνημονευομένη καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία ἐστὶν ἡ ἐν Ῥώμῃ, εἰς ἣν πάντες ὀφείλουσι πιστεύειν, ὡς διδάσκει τὸ Σύμβολον, καὶ ὅτι ἔξω τῆς Ἐκκλησίας ταύτης, τῆς μόνης καθολικῆς καὶ Ἀποστολικῆς, οὐκ ἔστι σωτηρία· τοῦτο δὲ μετ' ὀλίγον ὄψει διὰ πραγμάτων πιστοποιούμενον. Ἀλλ' ἱκανὰ ταῦτα περὶ τοῦ καλουμένου Ἀποστολικοῦ Συμβόλου.

Τὰ κατὰ τόπους πρὸ τῆς ἐν Νικαίᾳ Α' Συνόδου ἐπικρατοῦντα Σύμβολα.

Οὐδὲν λοιπὸν τῶν Ἀποστόλων καταλιπόντων ἔγγραφον Σύμβολον, ἡ μετὰ τὸν θάνατον αὐτῶν διὰ τῶν διαδεξαμένων αὐτοὺς θεοφόρων κηρύκων τοῦ Εὐαγγελίου ἐξάπλωσις τοῦ Χριστιανισμοῦ, καὶ ἡ εὐθὺς ἐξ

ἀρχῆς ἀναφανεῖσα τάσις αἱρετικῶν τινων πρὸς μεταβολὴν καὶ ἀνατροπὴν τοῦ Ἀποστολικοῦ κηρύγματος, ὑπηγόρευσαν τὴν ἀνάγκην τῆς κατὰ τόπους συντάξεως Συμβόλων, ἤτοι κανόνων τῆς πίστεως, ἐν κεφαλαίῳ διδασκόντων τοὺς πιστοὺς τὰ κυριώτατα ὧν χρὴ πιστεύειν. Τότε καὶ Κλήμης ὁ Ῥώμης Ἐπίσκοπος, σύγχρονος γενόμενος τοῖς Ἀποστόλοις, ἀποθανὼν δὲ περὶ τὸ 100ὸν ἔτος μ. Χρ., συντάξας ἐξέδωκε τοὺς καλουμένους Ἀποστολικοὺς κανόνας καὶ τὰς Ἀποστολικὰς Διατάξεις·[68] καὶ οἱ ἄλλοι δέ, οἱ τῷ Κλήμεντι σύγχρονοι, καὶ διὰ τοῦτο Ἀποστολικοὶ Πατέρες καλούμενοι, μάλιστα δὲ Ἰγνάτιος ὁ θεοφόρος καὶ Πολύκαρπος ὁ Σμύρνης Ἐπίσκοπος, διετύπωσαν ἐν τοῖς Λόγοις καὶ ἐν ταῖς ἐπιστολαῖς αὐτῶν κεφαλαιώδη ἔκθεσιν, ἤτοι Σύμβολον πίστεως, τοῦτο μόνον διδάσκοντος, τὸ πιστεύειν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα. Μετὰ τοὺς Ἀποστολικοὺς Πατέρας, ὅσῳ μᾶλλον ἐξηπλοῦτο ὁ Χριστιανισμός, καὶ παντοῖαι τὴν Ἐκκλησίαν διετάρασσον αἱρέσεις, τοσούτῳ μᾶλλον οἱ τῆς Ἀποστολικῆς διδασκαλίας ἀντεχόμενοι, καὶ τῆς ὀρθο-

---

[68] Εἰσὶ δὲ καὶ οἱ λέγοντες, ὅτι οὐχ ὁ Ῥώμης Ἐπίσκοπος Κλήμης, ἀλλ' ὁ μετ' ἐκεῖνον 100 περίπου ἔτη ἀκμάσας Κλήμης ὁ Ἀλεξανδρεὺς ἐξέδωκε τοὺς Ἀποστολικοὺς κανόνας καὶ τὰς διατάξεις.—Ἴδε πλείω περὶ τούτου ἔν τε τῷ Κλήμεντος βίῳ (Πατρολογία Κ. Κοντογόνου, τόμ. Α', ἐν ἀρχῇ) καὶ ἐν τῇ τοῦ μακαρίτου Κ. Οἰκονόμου Ἐπιστολιμαίᾳ διατριβῇ "περὶ τῶν τριῶν ἱερατικῶν τῆς Ἐκκλησίας βαθμῶν".

δοξίας προστατοῦντες, συνέτασσον κατὰ τόπους σύμβολα, διδάσκοντα τὴν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα πίστιν· τοιαῦτα δὲ σύμβολα διακρίνονται περίπου πεντεκαίδεκα ἐν τοῖς συγγράμμασι τῶν Πατέρων, τῶν πρὸ τῆς ἐν Νικαίᾳ Συνόδου ἀκμασάντων, οἷοί πέρ εἰσιν οἱ ἄρτι μνημονευθέντες τρεῖς Ἀποστολικοὶ Πατέρες, καὶ μετ' αὐτοὺς Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς, Εἰρηναῖος ὁ Λουγδούνων Ἐπίσκοπος, Τερτυλλιανός, Κυπριανός, Γρηγόριος ὁ Νεοκαισαρείας, ὁ ἐπικαλούμενος Θαυματουργός, Λουκιανὸς ὁ μάρτυς, καὶ ἄλλοι τινές· ἁπάντων δὲ τούτων τὰ Σύμβολα οὐδὲν πλέον, οὐδὲν ἔλαττον διδάσκουσιν, ἢ πιστεύειν εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα. Ἐπεκαλοῦντο δὲ τὰ Σύμβολα ταῦτα ἐκ τοῦ τόπου, καθ' ὃν ἕκαστον ἐπεκράτει, ὡς, παραδείγματος χάριν, Σύμβολον Ῥώμης (τοῦτο δὴ τὸ μετὰ ταῦτα ἐπικληθὲν Ἀποστολικόν), Σύμβολον Ἀκυληίας, Σύμβολον Ἀλεξανδρείας, Σύμβολον Ἱεροσολύμων, Σύμβολον Ἀντιοχείας, κ. τ. λ. Ἀλλά, καθὼς καὶ πρὸ μικροῦ ἔλεγον, οὐδὲν τῶν Συμβόλων τούτων εἶχε γενικὸν κῦρος, εἰ καὶ πάντα μίαν καὶ τὴν αὐτὴν ἐδίδασκον πίστιν, τὴν ὑπὸ τοῦ Σωτῆρος καὶ τῶν Ἀποστόλων παραδοθεῖσαν. Εὐκολώτατόν ἐστι πάντων τούτων τῶν Συμβόλων παραθεῖναί σοι τὸ κείμενον ἔκ τε τῶν συγγραμμάτων τῶν ἄρτι μνημονευθέντων Πατέρων καὶ ἐκ νεωτέρων, μάλιστα δὲ ἐκ τοῦ μεγάλου συγγράμματος τοῦ Bingham, ἐκ τοῦ Harvey καὶ ἐκ τοῦ

Heurtley, καὶ ἄλλων, ἐν οἷς πάντα κατὰ χρονολογικὴν τάξιν ὑπάρχουσιν ἐκτεθειμένα, τά τε ἐν τῇ Ἀνατολῇ καὶ τὰ ἐν τῇ Δύσει καὶ Ἀφρικῇ ἐπικρατοῦντα τότε Σύμβολα· ἀλλὰ συντομίας χάριν παραλείπω τὸ ἀντιγράψαι σοι αὐτά· ἄλλως τε δέ, τινὰ τούτων, οἷα τὸ ψευδαποστολικὸν τῆς Ῥώμης, τὸ τοῦ Εἰρηναίου, τὸ τοῦ Ἀρείου, (ὅ τινες κακῶς ὀνομάζουσι Σύμβολον τῆς Ἀλεξανδρείας[69]), τὸ τῶν Ἱεροσολύμων (ὡς κακῶς ὀνομάζεται τὸ ἐν ταῖς Ἀρειαναῖς Κατηχήσεσι τοῦ Κυρίλλου ἑρμηνευόμενον), παρέθηκά σοι ἐν τοῖς ἔμπροσθεν. Τοῦτο δὲ μόνον λέγω, ὅτι, ἐξαιρουμένου τοῦ Ἀρειανοῦ Συμβόλου, οὐδὲν ἄλλο τῶν ἐν τῇ Ἀνατολῇ περιεῖχε τὸ "πιστεύομεν εἰς τὴν Ἐκκλησίαν", ἀλλ' ἐν ἅπασιν ὡμολογεῖτο πίστις εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, "τὸ διὰ τῶν Προφητῶν κεκηρυχὸς τὰς οἰκονομίας καὶ τὰς ἐλεύσεις", ὡς λέγεται ἐν τῷ Συμβόλῳ τοῦ Εἰρηναίου· ὅπερ οὐδὲν διαφέρει τοῦ λεγομένου ἐν τῷ Συμβόλῳ τῆς Κωνσταντινουπόλεως, "τὸ λαλῆσαν διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν". Τοὐναντίον δέ, πάντα τὰ ἐν τῇ Δύσει

---

[69] Ἡ ὑπὸ Ἀρείου καὶ Εὐζωΐου ὑποβληθεῖσα τῷ μεγάλῳ Κωνσταντίνῳ ἔκθεσις πίστεως οὐ δύναται εὐλόγως ὀνομασθῆναι Σύμβολον τῆς Ἀλεξανδρείας· τοιοῦτο δὲ μᾶλλον ἦν τὸ περιεχόμενον ἐν τῇ τοῦ μεγάλου Ἀθανασίου Ἐκθέσει τῆς πίστεως.

καὶ ἐν τῇ Ἀφρικῇ ἐπικρατοῦντα Σύμβολα (πλὴν τοῦ ὑπὸ Τερτυλλιανοῦ διδασκομένου, ὅπερ ἐστὶν ὅμοιον τοῖς ἐν τῇ Ἀνατολῇ) μετὰ τὴν ὁμολογίαν τῆς πίστεως εἰς τὴν ἁγίαν Τριάδα προσετίθουν καὶ τὸ "πιστεύειν ἁγίαν Ἐκκλησίαν", ἢ "πιστεύειν ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον διὰ τῆς ἁγίας Ἐκκλησίας"—Credo sanctam Ecclesiam—ἢ—Credo remissionem peccatorum et vitam æternam per sanctam Ecclesiam.—Ἐν τούτῳ δὴ κεῖται ἡ ἀρχικὴ αἰτία τῆς μετέπειτα διαδοθείσης καὶ ἐν τῇ Ἀνατολῇ διδασκαλίας τοῦ ἐννοεῖν πρὸ τοῦ Θ′ ἄρθρου τοῦ ἡμετέρου Συμβόλου τὸ ῥῆμα "πιστεύω". Καὶ ἰδοὺ πῶς.

Λατινικὴ μετάφρασις τοῦ Συμβόλου.

Μετὰ τὴν συμπλήρωσιν τοῦ Συμβόλου τῆς Νικαίας, τὴν ἐν τῇ Β′ οἰκουμενικῇ Συνόδῳ γενομένην, καὶ πρὸς τοῖς ἄλλοις ἰδιώμασι τοῦ παναγίου Πνεύματος διδάσκουσαν, ὅτι ἐλάλησε διὰ τῶν Προφητῶν εἰς μίαν, ἁγίαν καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν, οἱ τὸ Σύμβολον ἐκεῖνο Λατινιστὶ μεταφράσαντες, τελείαν στιγμὴν μετὰ τὴν λέξιν "προφητῶν" γράψαντες, ἢ καὶ εὑρόντες αὐτὴν οὕτω γεγραμμένην πρὸς διάκρισιν τῶν ἄρθρων, ἐχώρισαν τὰ ἐφεξῆς εἰς ἰδίαν πρότασιν, προσθέντες μὲν τὸν σύνδεσμον ΚΑΙ, ὅπως ἐννοῆται αὖθις τὸ ῥῆμα "πιστεύω", ἀφελόντες δὲ τὴν πρόθεσιν ΕΙΣ, ὅπως μὴ λέγωσιν, ὅτι πιστεύουσιν εἰς τὴν Ἐκκλησίαν (ὅπερ ἐγίνωσκον ὅτι οὐκ ἔξεστι), ἀλλ' ὅτι πιστεύουσι μίαν εἶναι τὴν Ἐκκλησίαν, ὅπερ οὐδεὶς

ἀρνεῖται. Ἰδοὺ ἡ μετάφρασις αὕτη τοῦ Συμβόλου, οἵα εὕρηται ἐν ταῖς ἐκδόσεσι τῶν πρακτικῶν τῶν Συνόδων. —Credimus in unum Deum... et in unum Dominum Jesum Christum... et in Spiritum Sanctum, Dominum et vivificantem, ex Patre procedentem, cum Patre et Filio adorandum et conglorificandum, qui loquutus est per sanctos Prophetas. Et[70] unam sanctam catholicam et Apostolicam Ecclesiam. Confitemur unum baptisma in remissionem peccatorum. Expectamus resurrectionem mortuorum: et vitam futuri sæculi. Amen.

Ἐκ τῆς ἡμαρτημένης ταύτης μεταφράσεως τὸ Σύμβολον παρεποιήθη εὐθὺς ἐξ ἀρχῆς· διότι ὁμολογουμένως ἐν τούτῳ τῷ μέρει ἡ μετάφρασις οὐσιωδῶς διαφέ-

---

[70] Ποῦ τοῦ Ἑλληνικοῦ κειμένου εὗρον τοῦτον τὸν ΚΑΙ οἱ μεταφρασταί; ποῦ δὲ ἀπερρίφθη ἡ ἐν τῷ Ἑλληνικῷ κειμένῳ ὑπάρχουσα πρόθεσις ΕΙΣ; Εἰπάτωσαν οἱ τὴν Λατινικὴν ταύτην μετάφρασιν ἀσπαζόμενοι, καὶ κατ' αὐτὴν ἑρμηνεύοντες τὸ ἡμέτερον Σύμβολον. Καὶ οὐδὲν μὲν θαυμαστόν, εἰ ξένοι Ἑλληνισταὶ ἐπλανήθησαν ἐν τῇ τοῦ Συμβόλου μεταφράσει. Ὅτι δὲ Ἕλληνες ἄνδρες, καὶ Ἀρχιερεῖς τῆς ὀρθοδόξου Ἐκκλησίας, ἐπιμένουσιν εἰς τὸ ἀναγινώσκειν καὶ ἑρμηνεύειν τὸ Σύμβολον κατὰ τὴν ἡμαρτημένην Λατινικὴν μετάφρασιν, τοῦτο οὐ μόνον ἐστὶ θαυμαστόν, ἀλλὰ καὶ τιμωρίας ἄξιον. Ἐπέβαλε δὲ τοῖς τοιούτοις Ἀρχιερεῦσι τὴν προσήκουσαν ποινὴν ἡ τρίτη οἰκουμενικὴ Σύνοδος, ὁρίσασα τάδε. "Τοὺς δὲ τολμῶντας ἢ συν« τιθέναι πίστιν ἑτέραν... τούτους, εἰ μὲν εἶεν Ἐπίσκοποι ἢ κληρικοί, « ἀλλοτρίους εἶναι τοὺς Ἐπισκόπους τῆς ἐπισκοπῆς καὶ τοὺς κληρι« κοὺς τοῦ κλήρου· εἰ δὲ λαϊκοὶ εἶεν, ἀναθεματίζεσθαι". Εἰσὶ λοιπὸν οἱ τοιοῦτό τι τολμῶντες κληρικοὶ ἀλλότριοι τοῦ κλήρου καὶ αὐτοκαθαίρετοι.

ρει τοῦ πρωτοτύπου Ἑλληνικοῦ κειμένου. Ἀλλ' ὁμολογητέον ὅτι ἡ παραποίησις αὕτη (ὡς ἐγὼ τοὐλάχιστον νομίζω) οὐκ ἐγένετο ἐπίτηδες καὶ ἐκ προαιρέσεως, ἀλλ' ἐξ ἀγνοίας· οἱ δὲ μεταφρασταὶ ἀγνοήσαντες τὴν ἀληθῆ ἔννοιαν τοῦ μέρους τούτου τοῦ Συμβόλου, μετέφρασαν αὐτὸ κατὰ τὰ ἐν τῇ Δύσει πρότερον ἐπικρατοῦντα Σύμβολα, ἐν οἷς, ὡς ἄρτι εἴδομεν, μετὰ τὴν ὁμολογίαν τῆς εἰς τὴν ἁγίαν Τριάδα πίστεως εἵπετο πάντοτε τὸ "Credo sanctam Ecclesiam". Ἐν ἄλλαις λέξεσιν, ἐσκέφθησαν καὶ οὗτοι, ὡς ἐγώ, ὅτε κατέκρινον τοὺς Πατέρας τῆς Β' οἰκουμεν. Συνόδου, ὅτι οὐ προσέθηκαν τὸν σύνδεσμον ΚΑΙ, ὅπως ὑποδεικνύηται τὸ ἀπὸ κοινοῦ ἐννοεῖν τὸ ῥῆμα "πιστεύω"· καὶ οὕτω σκεπτόμενοι ἐν τῇ πεποιθήσει, ὅτι τὸ ῥῆμα τοῦτο ἐξ ἅπαντος ἐννοεῖται ἐκεῖ, τὸν μὲν σύνδεσμον ΚΑΙ προσέθηκαν, τὴν δὲ πρόθεσιν ΕΙΣ ἀπέῤῥιψαν, φοβούμενοι μὴ μετὰ τοῦ δημιουργοῦ καὶ κτίστου τῶν ἁπάντων ὁμολογήσωσι πιστεύειν καὶ εἰς τὸ κτίσμα, τὴν Ἐκκλησίαν. Τοῦτο ῥητῶς διδάσκει ὁ Ῥουφῖνος, Πρεσβύτερος ὢν τῆς ἐν Ἀκυληΐᾳ Ἐκκλησίας, ἐν ᾗ ἔγραψεν ἑρμηνείᾳ τοῦ Συμβόλου (§ 36) λέγων· "*Sanctam Ecclesiam*
« *Catholicam, remissionem peccatorum, carnis resur-*
« *rectionem.*—Non dixit, *in* sanctam Ecclesiam Ca-
« tholicam, nec *in* remissionem peccatorum, nec *in*
« carnis resurrectionem: si enim addidisset, *in*, præ-
« positionem, una cum superioribus eademque vis

ἰδιώτης· καὶ τέλος πάντων μετὰ τὸν θάνατον αὐτοῦ, βασιλεύσαντος τοῦ γενναίου, ἀλλ' ἀτυχοῦς, ἀδελφοῦ αὐτοῦ Κωνσταντίνου ἐν ἔτει 1450, ἡ ἐν τῷ ναῷ τῆς ἁγίας Σοφίας συνελθοῦσα Σύνοδος, ἐν ᾗ παρῆσαν οἱ δύο Πατριάρχαι, ὁ Ἱεροσολύμων καὶ ὁ Ἀντιοχείας, πολλοὶ δὲ Ἀρχιερεῖς καὶ ἄλλοι κληρικοί, τὰ αὐτὰ τῇ ἐν Ἱεροσολύμοις πρότερον συνελθούσῃ ἔπραξε, τέλεον ἀκυρώσασα ὡς παράνομα τὰ ἐν τῇ Φλωρεντινῇ Συνόδῳ πεπραγμένα. Καὶ ἐκ τῆς τελευταίας λοιπὸν ταύτης μηχανοῤῥαφίας οὐδὲν ἄλλο ὠφελήθησαν οἱ ἐν Ῥώμῃ, ἢ τὸ σαγηνεῦσαι τοὺς ἄρτι ὀνομασθέντας Ἐπισκόπους (σὺν οἷς καὶ Γρηγόριον τὸν Πρωτοσύγκελλον), οὐκ ὀλίγον χρησιμεύσαντας ἔπειτα εἰς ἄλλας ῥαδιουργίας, ὧν μία ἦν καὶ τὸ διδάσκειν τοὺς ἐν τῇ Ἀνατολῇ συμπολίτας αὐτῶν, ὅτι διὰ τῆς ἐπιμονῆς εἰς τὸ μὴ ὑποτάσσεσθαι τῷ Πάπᾳ καὶ αὐτὸ τὸ Σύμβολον τῆς πίστεως, ὃ καθ' ἑκάστην ἀπαγγέλλουσιν, ἀσεβῶς καταφρονοῦσιν, ὁμολογοῦντες μὲν ἐν αὐτῷ, ὅτι πιστεύουσιν εἰς μίαν καθολικὴν Ἐκκλησίαν, οὐ κατανοοῦντες δέ, ὅτι αὕτη ἐστὶν ἡ ἐν Ῥώμῃ, ὡς μόνη οὖσα μία καθολικὴ καὶ Ἀποστολική.

Ἰδίαν δὲ ἱστορίαν τῆς Συνόδου ἐκείνης μετέφρασεν Ἀγγλιστὶ ἐκ τοῦ Ῥωσσικοῦ καὶ ἐξέδωκεν ἐν Λονδίνῳ (1861) ὁ εὐπαίδευτος Κύριος Βασίλειος Ποπώφ, νῦν Ἱεροδιάκονος τῆς ἐνταῦθα Ῥωσσικῆς Ἐκκλησίας, ἄξιος υἱὸς τοῦ πολυμαθοῦς καὶ σεβασμίου Πρεσβυτέρου Κυρίου Εὐγενίου Ποπώφ, τοῦ τῆς αὐτῆς Ἐκκλησίας ἐφημερίου.

Ἅλωσις Κωνσταντινουπόλεως ὑπὸ τῶν Τούρκων.

Ἀρχὴ τῆς διδασκαλίας τοῦ πιστεύειν εἰς μίαν καθολικὴν Ἐκκλησίαν, τὴν ἐν Ῥώμῃ.

Τρία ἔτη μετὰ ταῦτα ἐσήμανε τέλος πάντων καὶ ἡ τελευταία ὥρα τῆς Ἀνατολικῆς αὐτοκρατορίας, ἁλούσης τῆς Κωνσταντινουπόλεως ὑπὸ Μωάμεθ τοῦ Β' (τὴν 29ην Μαίου τοῦ ἔτους 1453, ἡμέραν Τρίτην), ὅτε καὶ ἡ πολιτικὴ καὶ θρησκευτικὴ ἐλευθερία τῶν Χριστιανῶν ἐνομίσθησαν συναπολεσθεῖσαι ἐν ἡμέρᾳ μιᾷ, τῇ ἀποφράδι ἐκείνῃ ἡμέρᾳ,[76] καὶ οὐδεμία οὐδαμόθεν ὑπεφαίνετο σωτηρίας ἐλπίς. Ἀλλ' ὅμως ἡ μὲν πολιτικὴ ἐλευθερία ἄρδην ἀπώλετο, καὶ σιδηροῦς δουλείας ζυγὸς ἐπετέθη βαρύτατος ἐπὶ τοῦ τραχήλου τῶν δυστυχῶν Χριστιανῶν, ἡ δὲ τοῦ Χριστοῦ Ἐκκλησία κατελείφθη ἐλευθέρα καὶ ἀνεξάρτητος ἀπὸ τῶν βαρβάρων καὶ ἀπίστων κατακτητῶν, εὐδοκίᾳ καὶ χάριτι τοῦ οἰκοδομήσαντος αὐτὴν καὶ εἰπόντος, ὅτι "πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς." Καὶ ὁ μὲν κατακτητὴς ἐδωρήσατο τοῖς Χριστιανοῖς θρησκευτικὴν αὐτονομίαν, ἐπιτρέψας αὐτοῖς ἐκλέγειν, ὡς καὶ πρότερον, τοὺς ἰδίους αὐτῶν Ἐκκλησιαστικοὺς ποιμένας, καὶ διὰ νόμων βασιλικῶν κυρώσας τὴν ἀνεξαρτησίαν καὶ τὰς προνομίας τῆς ἡμετέρας Ἐκκλησίας· οἱ δὲ χριστιανικοὶ λαοὶ τῆς Ἀνατολῆς ἁπάσης εὗρον ἐν τῇ θρησκευτικῇ ταύτῃ ἐλευθερίᾳ γλυκυτάτην παραμυθίαν τῶν δεινῶν τῆς πολιτικῆς δουλείας, καὶ καταφυγὴν ἐν πάσαις αὐτῶν ταῖς θλί-

[76] Γνωστόν ἐστιν ὅτι ἔκτοτε μέχρι νῦν ἡ Τρίτη νομίζεται παρὰ πᾶσι τοῖς ἐν τῇ Ἀνατολῇ χριστιανοῖς ἡμέρα ἀποφράς, καὶ ἀπαίσιον τὸ ἐν τῇ ἡμέρᾳ ταύτῃ κατάρχεσθαι ἔργου, καὶ μάλιστα πλοῦ.

ψεσι, καὶ βοήθειαν καὶ προστασίαν σωτήριον. Ἐπληροῦτο δὴ τότε κατὰ γράμμα ἐν τοῖς ὀρθοδόξοις χριστιανοῖς ὅ,τι περὶ τῆς Ἐκκλησίας ἐν γένει ἔλεγεν ὁ χρυσοῤῥήμων Ἰωάννης, ὃ καὶ ἐν τοῖς ἔμπροσθεν παρεθέμεθα· "Ἡ ἐλπίς σου ἡ Ἐκκλησία, ἡ καταφυγή σου ἡ Ἐκκλησία, ἡ προστασία σου ἡ Ἐκκλησία".

Ἀλλὰ φεῦ! τοιαύτης τυχόντες παρὰ βαρβάρων καὶ ἀπίστων κατακτητῶν σωτηρίου καὶ ἀνελπίστου εὐεργεσίας οἱ ἐν τῇ Ἀνατολῇ χριστιανοί, ἔμελλον ἑτέρωθεν ἀδιαλείπτως ἐπιβουλεύεσθαι καὶ καταθορυβεῖσθαι ὑπ' αὐτῶν τῶν εἰς Χριστὸν πιστευόντων, τῶν ἐν Ῥώμῃ ἀντιζήλων καὶ ἀντιπάλων, παρ' ὧν οὐ μόνον οὐδεμιᾶς ἠξιώθησαν βοηθείας ἐν ᾧ τὸν περὶ τῶν ὅλων ἐκινδύνευον κίνδυνον, ἀλλὰ καὶ πολεμούμενοι ὑπὸ τῶν ἀπίστων συνεπολεμοῦντο καὶ ὑπὸ τῶν πιστῶν, καὶ νικηθέντες καὶ δουλωθέντες ἐνομίσθησαν ἕρμαιον τῆς Ῥωμαϊκῆς ἀλαζονείας. "Δρυὸς πεσούσης, πᾶς ἀνὴρ ξυλεύεται," τὸ τοῦ λόγου· καὶ ἡ Παπικὴ λοιπὸν ὀφρύς, πεπτωκυῖαν ἰδοῦσα τὴν μεγάλην δρύν, ἀφ' ἧς ἐπὶ πολλοὺς αἰῶνας μυρία ὅσα μηχανησαμένη οὐκ ἠδυνήθη ξυλεύσασθαι, παρεσκεύασεν ὀξυτάτους τοὺς πελέκεις αὐτῆς, καὶ ἐπέπεσε χαίρουσα κατὰ τῆς πεπτωκυίας μεγάλης δρυός. Εἶχε δὲ ἤδη παρ' ἑαυτῇ καὶ πελέκεις Ἀνατολικούς, οὓς κατώρθωσεν ὑποκλέψαι ἐν τῇ Φλωρεντινῇ ψευδοσυνόδῳ, ὡς ἄρτι ἐλέγομεν, καὶ οἷς προσθετέον νῦν καὶ τὸν πρὸ τῆς Συνόδου ἐκείνης εἰς

Ἰταλίαν μεταβάντα Γεώργιον τὸν Τραπεζούντιον, ἐν Κρήτῃ μὲν γεννηθέντα, οὕτω δ' ἐπικαλούμενον διὰ τὴν ἐκ Τραπεζοῦντος καταγωγὴν τῶν γονέων αὐτοῦ, ἐκεῖθεν εἰς Κρήτην μεταναστευσάντων. Οὗτος περὶ τὸ 1430 μεταβὰς εἰς Ἰταλίαν ἐδίδασκε τὰ Ἑλληνικὰ ἐν Βενετίᾳ· κἀκεῖθεν εἰς Ῥώμην μεταβὰς ἐγένετο ὑπομίσθιος τῷ Πάπᾳ Εὐγενίῳ Δ' ὡς καθηγητὴς τῆς Ἑλληνικῆς φιλοσοφίας καὶ φιλολογίας, ἔπειτα δὲ καὶ γραμματεὺς τοῦ τὸν Εὐγένιον διαδεξαμένου Νικολάου Ε'. Τούτους λοιπὸν τοὺς πελέκεις προτάξασα ἡ Ῥώμη, ἐπῆλθε ξυλευσομένη ἀπὸ τῆς πεπτωκυίας μεγάλης δρυός, χρηστὰς ἔχουσα τὰς ἐλπίδας, ὅτι ἐπέστη τέλος πάντων ὁ καιρὸς τοῦ πληρῶσαι τὸν προαιώνιον αὐτῆς πόθον, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῆς τὴν Ἀνατολικὴν Ἐκκλησίαν. Καὶ διεκηρύττετο λοιπὸν τότε πανταχοῦ τῆς Ἀνατολῆς (ὃ δὴ καὶ μέχρι νῦν χαίρουσι κηρύττοντες καθ' ἡμῶν Λατῖνοί τινες συγγραφεῖς, οἱ καλούμενοι ὑ π ε ρ ά λ π ε ι ο ι), ὅτι ὁ Θεὸς δικαίως ἐπαίδευσεν ἡμᾶς διὰ τὴν ἀσύγγνωστον ἡμῶν ἁμαρτίαν, ἥτις ἐστὶ τὸ μὴ ὑποτάσσεσθαι τῇ Ῥωμαϊκῇ Ἐκκλησίᾳ καὶ μὴ ὁμολογεῖν τὸν Ἐπίσκοπον αὐτῆς ἀ ν α μ ά ρ τ η τ ο ν κεφαλὴν συμπάσης τῆς του Χριστοῦ Ἐκκλησίας, καὶ ὅτι τέλος πάντων ὀφείλομεν ἀνανῆψαι ἀπὸ τοῦ ληθάργου, καὶ ἐπικαλέσασθαι τὸ ἔλεος τῆς τοιαύτης κεφαλῆς, ἐὰν θ έ λ ω μ ε ν σ ω θ ῆ ν α ι κ α ὶ ε ἰ ς ἐ π ί γ ν ω σ ι ν ἀ λ η θ ε ί α ς ἐ λ θ ε ῖ ν. Ὅτι μὲν οὖν τὸ

2 D

ἀσπάσασθαι δὲ τὴν ἐπιβούλως ὑποδειχθεῖσαν ἡμῖν, δίκην ἀναισθήτων ἐν μέλιτι τὸ δηλητήριον καταπιόντες. Καὶ ἐγὼ μὲν τῇ τῆς ἡμετέρας Ἐκκλησίας ἀληθεῖ καὶ ὀρθοδόξῳ ἑρμηνείᾳ ἑπόμενος, καὶ ἀναγνοὺς τὸ Σύμβολον ἄνευ τελείας στιγμῆς μετὰ τὴν λέξιν "προφητῶν," τὰ ἐξ ἁμάξης ἤκουσα, αἱρετικὸς μὲν ὀνομασθεὶς δημοσίᾳ ὑπὸ τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Σύρου, ἀμαθὴς δὲ ὑπ' ἄλλου τινός, δαιμονιῶν δὲ ὑπ' ἄλλου, καὶ τοιαῦτα ἄλλα πολλά· οἱ δὲ τῇ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἑρμηνείᾳ ἑπόμενοι, καὶ τυφλοῖς ὄμμασιν εἰς τὴν αἵρεσιν παρασυρόμενοι, καὶ περὶ τὰ καίρια ἐξαμαρτάνοντες, οὗτοι νομίζονται καὶ ὀνομάζονται εὐσεβεῖς, ὀρθόδοξοι καὶ σοφοί. Τοῦτο δὲ ὅλον γέγονεν, ὡς φαίνεται, ἵνα πληρωθῇ τὸ ὑπὸ τοῦ Ἀποστόλου Παύλου εἰρημένον· "Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν « ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται, πονηροὶ δὲ ἄνθρωποι « καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες « καὶ πλανώμενοι."[77] Τοιοῦτοι δὲ κατὰ δυστυχίαν παρίστανται ἄνδρες, ὀφείλοντες μὲν εἶναι τῆς ἀληθείας, καὶ μόνης τῆς ἀληθείας, ὑπέρμαχοι καὶ διδάσκαλοι, ἅτε δὴ ἀξιωθέντες εἶναι λειτουργοὶ τοῦ εἰπόντος, "Ἐγώ « εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή,"[78] παραδόξως δὲ ἀπὸ τῆς ὑψηλῆς ταύτης θέσεως ἐκτραχηλι-

---

[77] Πρὸς Τιμόθ. Β' ἐπιστ. Γ', 12—13.

[78] Ἰωάν. ΙΔ', 6.

τὸν εἰς τὸν ἱερὸν Αὐγουστῖνον ψευδῶς ἀποδιδόμενον Λόγον, περὶ οὗ ἄρτι ἐλέγομεν, ὅτι δηλαδὴ ὀφείλομεν λέγειν, ὅτι πιστεύομεν μίαν εἶναι τὴν Ἐκκλησίαν, οὐχὶ δὲ ὅτι πιστεύομεν εἰς τὴν Ἐκκλησίαν, ἥτις οὐκ ἔστι Θεός, ἀλλ' οἶκος Θεοῦ· "Ecclesiam credere, non « tamen *in* Ecclesiam credere debemus, quia Ec- « clesia non Deus est, sed domus Dei est." Καὶ ἐν ἑνὶ λόγῳ, πάντες οἱ τὴν Λατινικὴν μετάφρασιν τοῦ Συμβόλου ἀποδεξάμενοι μετὰ προσοχῆς ἀπέφευγον εἰπεῖν "Credo *in* Sanctam Ecclesiam," ὅπως μὴ δόξωσιν εἶναι κτισματολάτραι, καὶ διὰ τοῦτο ἀπέῤῥιψαν ἐκ τοῦ Ἑλληνικοῦ κειμένου τὴν πρόθεσιν ΕΙΣ, ἀστοχήσαντες τῆς ἀληθοῦς ἐννοίας, καὶ ὑπολαβόντες, ὅτι αὐτοὶ μὲν διὰ τῆς τοιαύτης μεταφράσεως διακρίνουσι τὰ κτίσματα ἀπὸ τοῦ κτίστου, ἡμεῖς δὲ ἀδιαφόρως καὶ ἀδιακρίτως ἐκφράζομεν πίστιν εἰς ἀμφότερα. Ὁ ἀνωτέρω μνημονευθεὶς Ἄγγλος θεολόγος Ch. A. Heurtley λέγει περὶ τούτου, ὅτι πρὸ μὲν τοῦ Ῥουφίνου ἀδιαφόρως ἐτίθετο ἢ παρελείπετο ἡ πρόθεσις· μετὰ δὲ τὸν Ῥουφῖνον τοσαύτη ἐδόθη προσοχὴ εἰς τὴν ἔκφρασιν ταύτην, ὥστε καὶ ἀπ' αὐτοῦ τοῦ Συμβόλου τῆς Κωνσταντινουπόλεως ἀφῃρέθη ἡ πρόθεσις ΕΙΣ ἐν τῇ Λατινικῇ μεταφράσει (ὡς εἰ ἔλεγον οἱ τὸ Σύμβολον συντάξαντες Πατέρες "πιστεύω εἰς τὴν Ἐκκλησίαν"), ἑπομένως δὲ καὶ ἐν τῇ Ἀγγλικῇ· ἀλλὰ (προστίθησι) τὰ ἐν τῇ Ἀνατολῇ Σύμβολα παρέβλεπον τὸ ποιεῖν τὴν διάκρισιν

ταύτην. Ἰδοὺ οἱ λόγοι αὐτοὶ τοῦ ἄλλως εὐπαιδεύτου θεολόγου Heurtley, προφανῶς ἐν τούτῳ πλανωμένου ἐκ τῆς ἡμαρτημένης Λατινικῆς μεταφράσεως τοῦ ἐν Κωνσταντινουπόλει συμπληρωθέντος Συμβόλου τῆς Νικαίας· « Rufinus and other writers of the Western « Church lay much stress on the omission of the pre- « position *in* in this and the remaining articles, in « contradistinction to its insertion before the names « of each of the persons of the sacred Trinity, in « Articles 1, 2, and 8, respectively. This distinc- « tion does not, however, appear to have been « attended to even in the West in early times, for « in St. Cyprian's creed we have—*Credis in vitam* « *æternam*, etc. But after Rufinus's age so much « stress was laid upon it, that even the Constan- « tinopolitan formula, *In unam sanctam, Catholicam,* « *et Apostolicam Ecclesiam* (as it stood in strict ac- « cordance with the original in the most ancient « versions) was altered into *Unam Catholicam, &c.;* « or, as we have it in our own version—*I believe* « *one Catholic and Apostolic Church.* The Oriental « Creeds generally disregarded the distinction."[72] Οὕτω λοιπὸν οἱ ξένοι διδάσκουσιν ἡμᾶς, τί χρὴ πιστεύειν, καὶ πῶς ὀφείλομεν ὁμολογεῖν τὴν ἡμετέραν

[72] Ch. A. Heurtley's *Harmonia Symbolica*, p. 144—5.

πίστιν· καὶ δικαίως· διότι ἡμεῖς αὐτοὶ καταφρονήσαντες τῆς πατρῴας διδασκαλίας ἐγενόμεθα μαθηταὶ ἀντὶ διδασκάλων· καὶ ἀντὶ τοῦ λέγειν πρὸς τοὺς ξένους, « πλανᾶσθε, παρερμηνεύοντες τὸ ἐν τῇ ἡμετέρᾳ γλώσσῃ « γεγραμμένον Σύμβολον," ἐκεῖνοι λέγουσι πρὸς ἡμᾶς, « πλανᾶσθε, ὁμολογοῦντες ὅτι πιστεύετε εἰς κτίσμα, « τὴν Ἐκκλησίαν, ἅτε προστιθέντες τὴν πρόθεσιν ΕΙΣ « πρὸ τοῦ ἐννάτου ἄρθρου τοῦ Συμβόλου, ἣν ἡμεῖς « ὀρθοδοξοῦντες ἀπεῤῥίψαμεν, γράψαντες ἀντ' αὐτῆς « τὸν σύνδεσμον ΚΑΙ." Εἰς τοιαύτην περιήλθομεν ἐπονείδιστον θέσιν "διὰ τὴν ἡμετέραν ἀμέλειαν καὶ ῥᾳθυμίαν, ἣν ἀποθέσθαι φημὶ δεῖν ἤδη," κατὰ Δημοσθένην εἰπεῖν.

Τὸ Ῥωσσικὸν Σύμβολον διάφορον τοῦ ἡμετέρου.

Θαυμαστὸν δέ ἐστιν ὅτι καὶ ἐν τῇ Ῥωσσικῇ μεταφράσει τοῦ Συμβόλου τὸ αὐτὸ ὑπάρχει ἁμάρτημα, τῆς μὲν προθέσεως ΕΙΣ ἀφαιρουμένης, τοῦ δὲ συνδέσμου ΚΑΙ προστιθεμένου. Ἀγνοῶ μέν, πόθεν καὶ πότε ἐγένετο ἡ Ῥωσσικὴ μετάφρασις τοῦ Συμβόλου· εἰκάζω δέ, ὅτι οἱ μεταφράσαντες αὐτὸ ἤτοι ἐποιήσαντο τὴν μετάφρασιν ἐκ τοῦ Λατινικοῦ, ἢ ἀμφότερα ἔχοντες ὑπ' ὄψιν, τό τε Ἑλληνικὸν καὶ τὸ Λατινικόν, ἡρμήνευσαν τὸ πρῶτον διὰ τοῦ δευτέρου, καὶ ὡμοιώθησαν κατὰ τοῦτο πρὸς τὴν Δυτικὴν Ἐκκλησίαν, τἄλλα πάντα καθ' ἡμᾶς ἀποδεξάμενοι, ὡς παρ' ἡμῶν μαθητευθέντες τὴν εἰς Χριστὸν πίστιν. Ἐντεῦθεν λοιπὸν καὶ ἐν ταῖς Κατηχήσεσιν αὐτῶν διδάσκεται τὸ ἐπαναλαμβάνειν

πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω", ὡς ἐν τοῖς ἔμπροσθεν εἴδομεν, περὶ τῆς ὑπὸ τοῦ μακαρίτου 'Αλεξ. Στούρτζα μεταφρασθείσης Κατηχήσεως λόγον ποιούμενοι. 'Αλλ' ἡ τοιαύτη διδασκαλία, σύμφωνος οὖσα πρὸς τὸ κείμενον τοῦ Συμβόλου, ὃ ἔχουσιν ἡρμηνευμένον ἐκ τοῦ Λατινικοῦ, πάντως ἐστὶν ἀσύμφωνος (ἀλλὰ κατὰ τοῦτο μόνον τὸ μέρος) τῷ ὑφ' ἡμῶν ἀπαγγελλομένῳ 'Ελληνικῷ πρωτοτύπῳ· διότι κατὰ μὲν τὸ κείμενον τοῦ 'Ρωσσικοῦ Συμβόλου διδάσκεται τὸ πιστεύειν μίαν εἶναι τὴν 'Εκκλησίαν, κ. τ. λ., κατὰ δὲ τὸ ἡμέτερον τὸ πιστεύειν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν Προφητῶν εἰς μίαν... 'Εκκλησίαν. Ἄπορον δέ ἐστιν ὅτι οὐδεὶς τῶν 'Ρώσσων θεολόγων (τοιοῦτοι δὲ ὑπάρχουσιν ἐν 'Ρωσσίᾳ πολλοὶ καὶ πολλοῦ λόγου ἄξιοι, ἐν οἷς καὶ ὁ συγγραφεὺς τῆς ὑπὸ τοῦ μακαρίτου Στούρτζα μεταφρασθείσης Κατηχήσεως, Φιλάρετος ὁ Μητροπολίτης Μόσχας, ὁ πρὸ δύο ἐτῶν ἀποθανών) οὐδέποτε παρετήρησε τὴν διαφορὰν ταύτην (καθ' ὅσον τοὐλάχιστον ἐγὼ γινώσκω), ἀλλὰ διατελοῦσι ψάλλοντες τὸ Σύμβολον τῆς Νικαίας, ὡς οἱ Λατῖνοι καὶ οἱ Διαμαρτυρόμενοι, τοῦτο μόνον διαφέροντες ἐκείνων, ὅτι οὐ παρεμβάλλουσι καὶ τὸ περίφημον Filioque. Ἔχουσι λοιπὸν οἱ 'Ρῶσσοι ἴδιόν τι Σύμβολον, διάφορον μὲν τοῦ τῶν Λατίνων καὶ τῶν Διαμαρτυρομένων, διότι οὐ παρεδέξαντο τὴν πανάθεσμον προσθήκην τοῦ Fi-

lioque, διάφορον δὲ καὶ τοῦ ἡμετέρου, διότι ἀποβαλόντες ἐν τῷ Θ′ ἄρθρῳ τὴν πρόθεσιν ΕΙΣ ἀντικατέστησαν τὸν σύνδεσμον **ΚΑΙ**, ὡς ἐκεῖνοι, ὅπερ ἐστὶ προφανὴς παρερμηνεία τοῦ Ἑλληνικοῦ πρωτοτύπου.

Αὕτη ἐστί, φίλτατε, ἡ πρώτη καὶ ἀρχικὴ αἰτία τοῦ κακῶς ἐννοεῖν πρὸ τοῦ Θ′ ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω", τουτέστιν ἡ ἡμαρτημένη Λατινικὴ μετάφρασις, ἐξ ἧς μετεδόθη τὸ ἁμάρτημα εἴς τε τὴν Ἐκκλησίαν τῶν Διαμαρτυρομένων καὶ εἰς τὴν Ῥωσσικήν, ὡς εἰκάζω. Ἀλλ' ὅμως καὶ ἡμαρτημένη οὖσα ἡ τοιαύτη μετάφρασις, ὡς οὐ πιστῶς ἑρμηνεύουσα τὸ Ἑλληνικὸν πρωτότυπον, εἰς οὐδὲν ἐμβάλλει πλημμέλημα τοὺς ἀποδεξαμένους αὐτήν, ἅτε ἀποβαλόντας τὴν πρόθεσιν ΕΙΣ, καὶ λέγοντας ἁπλῶς "πιστεύω μίαν εἶναι τὴν Ἐκκλησίαν, καὶ ἁγίαν, καὶ καθολικήν, καὶ Ἀποστολικήν", ὅπερ ἐξ ἅπαντός ἐστιν ὀρθὸν καθ' ἑαυτό. Τοῦτο δὲ μόνον παρατηρητέον, ὅτι οἱ τὴν τοιαύτην ἀποδεχόμενοι μετάφρασιν οὐκ ἀπαγγέλλουσιν ὀρθῶς καὶ πιστῶς τὸ ἐν Νικαίᾳ Σύμβολον, ἀλλὰ μεταβάλλουσιν ἐν τῷ ἐννάτῳ ἄρθρῳ τὴν ἔννοιαν αὐτοῦ, καὶ οὕτως ἀπαγγέλλουσιν ἴδιόν τι Σύμβολον ὀρθόδοξον, ἀλλ' οὐχὶ τὸ ἐν Νικαίᾳ· διότι ἐκεῖνο μὲν διδάσκει, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν Προφητῶν εἰς τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, ἥτις ἐστὶ μία, ἁγία, καθολικὴ καὶ Ἀποστολική, οὗτοι δὲ ὁμολογοῦσιν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε μόνον διὰ τῶν Προφητῶν,

καὶ οὕτω χωρίζουσι τὴν τῶν Προφητῶν διδασκαλίαν τῆς τῶν Ἀποστόλων· ἔπειτα δὲ ἐπάγουσιν, ὅτι πιστεύουσι μίαν εἶναι καὶ ἁγίαν καὶ καθολικὴν καὶ Ἀποστολικὴν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν· τοῦθ' ὅπερ οὐδεὶς ἀρνεῖται, ἀλλ' ὅπερ ἐξ ἅπαντος οὐ συμφωνεῖ πρὸς τὸ γράμμα τοῦ ἐν Νικαίᾳ Συμβόλου.[73] Καὶ πάλιν λέγω,

---

[73] Ἐκ τῶν μέχρι τοῦδε ἐπικρινάντων τὴν ἐμὴν μετάφρασιν τῆς Ἱστορίας τῆς Ἑλληνικῆς φιλολογίας μόνος ὁ ἐν τῷ ἀξιολόγῳ περιοδικῷ συγγράμματι The Saturday Review (N° 805, α' Ἀπριλίου 1871) ἐπικρίνας αὐτὴν Ἄγγλος Ἑλληνιστὴς ἐτόλμησεν ἅψασθαι τοῦ ζητήματος τούτου, ὅπερ ὑπέδειξα ἐν τῷ προλόγῳ τῆς μεταφράσεώς μου· τῶν δὲ ἡμετέρων οἱ μὲν ἐπικρίναντες τὸ ἔργον μου ἀπέφυγον τὸ περὶ τοῦ πράγματος τούτου γνωματεῦσαι, οἱ δὲ καὶ ὅλως ἐσιώπησαν, ἵνα μὴ ἐμπέσωσιν εἰς πειρασμόν, μιμούμενοι τὸ παράδειγμα τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ἥτις ἐρωτηθεῖσα περὶ τούτου οὐδὲν ἀπεκρίνατο· "πολλὰ γὰρ ἔχει σιγὴ καλά". Πρὸς μὲν οὖν τοὺς σιωπήσαντας οὐδὲν ἔχω εἰπεῖν. Πρὸς δὲ τὸν ἐν τῇ Σαββατείῳ Ἐπιθεωρήσει εὐπαίδευτον ἐπικριτήν μου λέγω καὶ νῦν ὅ,τι καὶ τότ' εὐθὺς ἐν ἰδίᾳ ἐπιστολῇ ἔγραψα πρὸς τὸν ἐκδότην τῆς Ἐπιθεωρήσεως, ἣν ἀπηξίωσε δημοσιεῦσαι. Τοῦτο δ' ἐστίν, ὅτι κακῶς ὑπέλαβεν, ὅτι ἐγὼ καταδικάσας τὴν ὑπὸ τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Σύρου ἀνάγνωσιν τοῦ ἡμετέρου Συμβόλου συμπαρέλαβον εἰς τὴν καταδίκην ταύτην καὶ τοὺς εἰς τὰς ἄλλας Χριστιανικὰς Ἐκκλησίας ἀνήκοντας, ὡς ἀναγινώσκοντας τὸ Σύμβολον κατὰ τὸν Ἄρειον, καὶ οὐχὶ κατὰ τὸ κείμενον τῆς ἐν Νικαίᾳ Συνόδου. Οὐδὲν τοιοῦτον εἶπον, οὔτε διενοήθην εἰπεῖν· διότι μετὰ τὴν ἀφαίρεσιν τῆς προθέσεως ΕΙΣ οἵ τε Λατῖνοι καὶ οἱ Διαμαρτυρόμενοι καὶ οἱ Ῥῶσσοι εἰς οὐδεμίαν ἐμπίπτουσιν αἵρεσιν· ἀλλ' ἡμεῖς ἐμπίπτομεν εἰς τὸν Ἀρειανισμόν, ὡς οὐδεμίαν δυνάμενοι ποιήσασθαι προσθήκην ἢ ἀφαίρεσιν, καὶ ἑπομένως ἠναγκασμένοι διατηρῆσαι τὴν πρόθεσιν ΕΙΣ, πρὸς ἣν το ῥῆμα "πιστεύω" ἐστὶν ἀσυμβίβαστον, ὅταν ὁ λόγος ᾖ περὶ κτισμάτων, ὡς ἐν τοῖς ἔμπροσθεν διὰ πολλῶν καὶ ἐπισήμων μαρτυριῶν κατεδείχθη. Ὅ,τι λοιπὸν εἶπον ἐν τῷ προλόγῳ τῆς Ἱστορίας τῆς Φιλολογίας ἀφορᾷ προφανῶς εἰς τοὺς ἡμετέρους, οὐχὶ δὲ εἰς τὰς ἄλλας Χριστιανικὰς Ἐκκλησίας, αἵτινες παρερμηνεύουσι μὲν προφανέστατα τὸ

ὅτι θαυμάζω, πῶς οἱ Ῥῶσσοι θεολόγοι οὐ παρετήρησαν μέχρι νῦν τὴν διαφορὰν ταύτην, ἀλλ' ἐκκλίνουσιν ἀφ' ἡμῶν κατά γε τοῦτο, συμφωνοῦντες τοῖς Λατίνοις καὶ τοῖς Διαμαρτυρομένοις. Ἀλλὰ περὶ μὲν τῶν ἄλλων τί ἡμῖν μέλλει; ἔχουσι πολλοὺς τοὺς δυναμένους

Σύμβολον κατὰ τοῦτο τὸ μέρος, ἀποφεύγουσι δὲ τὸν Ἀρειανισμόν, ἀφαιροῦσαι τὴν πρόθεσιν ΕΙΣ, ὅπερ ἀδύνατον ἡμῖν ποιῆσαι. Λέγει πρὸς τούτοις ὁ ἐπικριτής μου, ὅτι "ἀμφιβάλλει, εἰ τοσοῦτον ἐπιζήσω χρόνον, ὥστε ἰδεῖν ὑπερισχύουσαν τὴν περὶ τοῦ πράγματος τούτου γνώμην μου, ἅτε ἀντικειμένην πρός τε τὴν διδασκαλίαν τῶν πρωτίστων τῆς Ἀνατολικῆς Ἐκκλησίας Πατέρων καὶ πρὸς τὴν παράδοσιν τῆς Ἀγγλικανῆς Ἐκκλησίας". Ἀλλ' ὅμως ἐγὼ ἐλπίζω, ὅτι διάφορον ἕξει γνώμην περὶ τούτου μετὰ τὴν ἀνάγνωσιν τῶν προεκτεθειμένων μαρτυριῶν ἐκ τῶν πρωτίστων καὶ μεγίστων τῆς Ἀνατολικῆς Ἐκκλησίας Πατέρων, καὶ ὁμολογήσει, ὅτι ἡ γνώμη αὕτη οὐκ ἔστιν ἐμή, ἀλλ' αὐτῶν τούτων τῶν Πατέρων· εἰ δὲ μή, δειξάτω μοι, τίς καὶ ποῦ λέγει τὸ ἐναντίον, καὶ ἐγὼ προθύμως εὐγνωμονήσω αὐτῷ δημοσίᾳ, ὡς εὐγνωμονῶ καὶ διά τὴν εὐμενῆ ἐπιείκειαν, ἐν ᾗ ἐπῄνεσε τὰ μέχρι νῦν ἐκδεδομένα μοι πονήματα. Περὶ δὲ τῆς παραδόσεως τῆς Ἀγγλικανῆς Ἐκκλησίας, ὅτι οὐ συνᾴδει τῇ κατ' ἐμὲ (μᾶλλον δὲ τῇ κατὰ τοὺς Πατέρας τῆς Ἀνατολικῆς Ἐκκλησίας) ἑρμηνείᾳ τοῦ Συμβόλου, οὐδὲν ὀφείλω φροντίσαι. Τιμῶ καὶ σέβομαι μετὰ τὴν ἐμὴν καὶ πᾶσαν ἄλλην Χριστιανικὴν Ἐκκλησίαν, μάλιστα δὲ τὴν Ἀγγλικανήν, οἰκτείρων ἐν πάσῃ εἰλικρινείᾳ τὸ μέγα δυστύχημα τῆς τῶν Ἐκκλησιῶν τοῦ Χριστοῦ διαστάσεως, ἣν ἀνθρώπων φιλοτιμίαι καὶ ἀξιώσεις παράλογοι ἐπήνεγκον παρὰ τὴν εὐχὴν τοῦ εἰπόντος Χριστοῦ—"Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί Σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς·"—ἀλλά, προκειμένου περὶ ἑρμηνείας τοῦ Συμβόλου τῆς πίστεως, ὅπερ ἐξ ἀρχῆς Ἑλληνιστὶ συνετάχθη, οὐδεμίαν αἰσθάνομαι ἀνάγκην τοῦ καταφυγεῖν εἰς τὰς μεταφράσεις αὐτοῦ, ὅπως ὀρθῶς ἑρμηνεύσω αὐτό, ἢ ὅπως ἀπαγγείλω αὐτὸ κατὰ τὰς ξένας μεταφράσεις καὶ τὰς ξένας παραδόσεις. Τὴν τιμὴν ταύτην καταλείπω ἀνεπιφθόνως εἰς τὸν Σεβασμιώτατον Ἀρχιεπίσκοπον Σύρου, ἐπαινούμενον ὑπὸ τοῦ ἐπικριτοῦ μου, ὅτι ἀνέγνω τὸ Σύμβολον ὡς καὶ ἐν τῇ Ἀγγλικανῇ Ἐκκλησίᾳ ἀναγινώσκεται — he read the Greek Creed com-

περὶ τῶν τοιούτων κρίνειν, καὶ σκοπείτωσαν ἐκεῖνοι ὅ,τι αὐτοῖς προσήκει πιστεύειν καὶ ποιεῖν· ἡμεῖς δὲ σκοπῶμεν τὰ ἡμέτερα, ἀείποτε μεμνημένοι τῆς δεδομένης ἡμῖν ἐντολῆς· "μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθηκαν οἱ πατέρες σου".

Μετάδοσις τῆς παραλόγου ταύτης ἑρμηνείας ἀπὸ τῆς Δύσεως εἰς τὴν Ἀνατολήν.

Ἀνευρόντες οὕτω τὴν πρώτην καὶ ἀρχικὴν αἰτίαν τῆς πρὸ τοῦ Θ' ἄρθρου ἐννοήσεως τοῦ ῥήματος "πιστεύω", ἄγε δὴ ἀνιχνεύσωμεν καὶ τὸν χρόνον, καθ' ὃν ἡ παράλογος αὕτη ἑρμηνεία τοῦ Συμβόλου, ἐν μόναις ταῖς τῆς Δύσεως Ἐκκλησίας ὑπάρχουσα, τεχνηέντως μετεκυλίσθη καὶ εἰς τὴν Ἀνατολὴν ὑπὸ τῶν εὐσεβῶν ἐκείνων Χριστιανῶν, οἵτινες ἀείποτε ἔσχον τὴν παράδοξον φιλανθρωπίαν τοῦ φροντίζειν περὶ τῆς σωτηρίας τῶν ἡμετέρων ψυχῶν, τὰ σώματα καταλείποντες εἰς τοὺς τυράννους ἡμῶν, καὶ οἵτινες μέχρι νῦν οὐ παύονται ἐξαποστέλλοντες πρὸς ἡμᾶς ἀφθόνους τοὺς διδα-

---

formably to our English usage. — Ἐγὼ δέ, ὅταν μὲν ἑρμηνεύω τοὺς Ἕλληνας ποιητὰς καὶ συγγραφεῖς, ἀείποτε μετὰ πολλῆς τῆς εὐγνωμοσύνης μελετῶ τὰς σοφὰς ἐκδόσεις καὶ ἑρμηνείας τῶν ἐν τῇ Δύσει φιλολόγων ἀνδρῶν, πολλὰ ἐξ αὐτῶν διδασκόμενος, καὶ τοῖς ἐμοῖς μαθηταῖς προθύμως μεταδιδοὺς τὴν ἐξ αὐτῶν διδασκαλίαν· ὅταν δὲ ἑρμηνεύω ἢ ἀπαγγέλλω τὸ Σύμβολον τῆς πίστεως, μόνους ἔχω καὶ διατελέσω ἔχων διδασκάλους τῆς ὀρθῆς αὐτοῦ ἑρμηνείας καὶ ἀπαγγελίας τοὺς Ἀθανασίους καὶ Γρηγορίους καὶ Βασιλείους καὶ Χρυσοστόμους καὶ Φωτίους, καὶ τὴν τῆς Ἀνατολικῆς Ἐκκλησίας παράδοσιν. Καὶ ἴσως μὲν ἁμαρτάνω οὕτω πράττων· διὰ τοῦτα καὶ ἠρώτησα τὴν ἀνωτάτην τῆς ἐμῆς Ἐκκλησίας Ἀρχήν. Ἐπειδὴ δὲ ἡ Ἀρχὴ αὕτη οὐδέν μοι ἀπεκρίνατο, παραμένω ἐν τῇ ἁμαρτίᾳ, ἕως ἂν ἐλεήσας με ὁ Κύριος ἀποστείλῃ τὸν εἰς τὴν κολυμβήθραν τοῦ Σιλωὰμ ἐμβαλοῦντά με πρὸς θεραπείαν τῆς κατατρυχούσης με νόσου.

σκάλους, ποικίλα φέροντας ὀνόματα καὶ ποικίλας περιβολάς, συνιστῶντες σχολάς, διανέμοντες δωρεὰν βιβλία ψυχοσωτήρια, καὶ μετὰ πολλοῦ ζήλου κοπιῶντες καὶ δαπανῶντες οἱ καλοὶ Χριστιανοὶ πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἐξ οὗ χρίμασιν οἷς οἶδε Κύριος οἱ τῆς ἐν Ῥώμῃ Ἐκκλησίας Ἐπίσκοποι συνέλαβον τὴν τολμηρὰν καὶ ἀντίχριστον ἰδέαν τοῦ κατάρξαι παντὸς τοῦ Χριστιανικοῦ Κόσμου, καὶ καταστῆσαι τὴν ἐν Ῥώμῃ Ἐκκλησίαν κεφαλὴν καὶ μητέρα πασῶν τῶν ἄλλων Ἐκκλησιῶν, οὐ μόνον δὲ τῶν Ἐκκλησιῶν, ἀλλὰ καὶ τῶν ἡγεμόνων ἁπάντων κρατεῖν, καί, τοῦτο δὴ τὸ τοῦ Ὁμήρου, "πάντεσσιν ἀνάσσειν, πᾶσι δὲ σημαίνειν", πολλὰ καὶ παντοῖα ἐμηχανήσαντο ἔν τε τῇ Δύσει καὶ ἐν τῇ Ἀνατολῇ πρὸς ἐμπέδωσιν τῆς ἀντιχρίστου ταύτης ὑπεροχῆς καὶ ἀρχῆς. Ἐν μὲν οὖν τῇ Δύσει διά τε τὴν ἐπικρατοῦσαν τότε ἀμάθειαν καὶ τὴν τῶν ἡγεμόνων ἀσθένειαν ταχέως ἐστερέωσαν τὴν ὑπεροχὴν ταύτην, καὶ κατέστησαν πράγματι Δεσπόται πάσης τῆς δυτικῆς Εὐρώπης, ὑποχειρίους ἔχοντες πάντας τοὺς λαοὺς καὶ τοὺς ἡγεμόνας, καὶ πάντα κατ' ἰδίαν ἀρέσκειαν πράττοντες καὶ νομοθετοῦντες, ὡς δίστομον περιζωσάμενοι ῥομφαίαν, τήν τε πολιτικὴν καὶ τὴν Ἐκκλησιαστικὴν ἐξουσίαν, δι' ἧς πάντα ὑπὸ τοὺς πόδας αὐτῶν ὑπέταξαν. Ἐν δὲ τῇ Ἀνατολῇ ἄλλως εἶχε τὸ πρᾶγμα, οὐ μόνον διὰ τὴν ὑπεροχὴν τῶν Ἀνατολικῶν κατά τε τὴν παιδείαν καὶ

τὴν πολιτικὴν ἰσχύν, ἀλλὰ πρὸ πάντων διὰ τὴν ἀκράδαντον ἐπιμονὴν τῶν τὴν Ἀνατολικὴν Ἐκκλησίαν διεπόντων Πατριαρχῶν καὶ Ἐπισκόπων εἰς τὴν μέχρι κεραίας ἀμετάβλητον τήρησιν τῆς Εὐαγγελικῆς διδασκαλίας καὶ τῆς διὰ τῶν οἰκουμενικῶν Συνόδων παραδεδομένης διοικήσεως τῶν Ἐκκλησιῶν. Κατὰ τῶν ἀκλονήτων ἐκείνων βράχων εἰς μάτην ἀείποτε ἐξηφρίζοντο προσαράσσοντα τῆς Παπικῆς φιλοδοξίας καὶ ἀλαζονείας τὰ ἄγρια κύματα. Καὶ ἐμαίνετο μὲν κατὰ τοῦ ἱεροῦ Φωτίου ὁ Πάπας Νικόλαος Α', συνόδους κατ' αὐτοῦ συγκαλῶν, καὶ ὡς κεραυνοὺς ἐπιῤῥίπτων κατ' αὐτοῦ τοὺς ἀναθεματισμούς, ἐλάμβανε δὲ εἰς ἀπάντησιν τὰ ἴσα παρὰ τῆς Ἀνατολικῆς Ἐκκλησίας, διδασκούσης αὐτόν· ὅτι "ἡ πρώτη οἰκουμενικὴ Σύνοδος ἑκάστῃ « ἐπαρχίᾳ ἐκανόνισε τὰ οἰκεῖα δίκαια προσεῖναι, καὶ « μηδέτερον ἑτέρου ἐπεισπηδᾷν τοῖς ὁρίοις". Ὅτε δὲ μετὰ πολλοῦ τοῦ στόμφου ὁ Ἐπίσκοπος Ῥώμης ἐπεδείκνυε τὴν ἀπὸ τοῦ Ἀποστόλου Πέτρου καταγωγὴν τῶν πρωτείων τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, "Ἄπαγε (ἐβόα πρὸς αὐτὸν ὁ μέγας τῆς ὀρθοδοξίας πρόμαχος)· « Ἰουδαϊκὸν τοῦτο καὶ ταπεινόν, τὴν χάριν καὶ τὴν « θειότητα αὐτῆς μέρεσί τισι καὶ τόποις περιγράφειν, « ἀλλὰ μὴ ἀνὰ πᾶσαν τὴν οἰκουμένην ὁμοίως ἐνεργεῖν. « Τὸ δέ — Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκο- « δομήσω μου τὴν Ἐκκλησίαν — οὐ διὰ τὴν ἐν Ῥώμῃ « Ἐκκλησίαν εἴρηται, ἀλλ' ἐπὶ τῇ θεολογησάσῃ τὸν

« Χριστὸν ὁμολογίας πέτρᾳ, καὶ δι' αὐτῆς ἐφ' ὅλῃ τῇ
« εἰς τὰ πέρατα τῆς γῆς ταῖς διδαχαῖς τῶν Ἀποστό-
« λων ἐξαπλωθείσῃ καὶ θεμελιωθείσῃ Ἐκκλησίᾳ, εἰς
« ἣν καὶ τὸ πανάγιον Πνεῦμα διὰ τῶν
« προφητικῶν σαλπίγγων κατὰ τὴν ὑφή-
« γησιν τοῦ ἱερωτάτου καὶ σεβασμίου
« ὅρου ἀνομολογοῦμεν λελαληκέναι, τὸ
« λαλῆσαν διὰ τῶν προφητῶν ἱερολογοῦντες
« εἰς μίαν καθολικὴν καὶ Ἀποστολικὴν
« Ἐκκλησίαν, οὐ Πετριανὴν ἢ Ῥωμαϊκήν, ὡς τὸ
« φιλόκαινον τῆς Ῥωμαϊκῆς ἀπαιδευσίας βού-
« λεται."[74] Τότε συγχρόνως ἐπενοήθη ἐν Ῥώμῃ ἡ

---

[74] Δέκα ὅλοι παρῆλθον μέχρι νῦν αἰῶνες, ἀφ' οὗ ὁ θαυμάσιος ἐκεῖνος τῆς ὀρθοδοξίας καὶ τῆς Ἐκκλησιαστικῆς ἀνεξαρτησίας πρόμαχος τοιαῦτα ἔγραφεν, ἀποκρούων τὴν πάντα ὑπὸ τοὺς πόδας αὐτῆς ὑποτάξαι προτιθεμένην Παπικὴν ἀλαζονείαν καὶ φιλοπρωτίαν. Ἔκτοτε δὲ πολλάκις μὲν ἡ σοφὴ αὐτοῦ πρόνοια ἐμαρτυρήθη ἐκ τῶν ταραχῶν καὶ τῶν σχισμάτων, ἅπερ ἡ ἀντίχριστος ἐκείνη φιλοπρωτία ἐπήνεγκεν εἰς τὴν Δύσιν, καὶ ἀφ' ὧν, χάρις εἰς τὴν σοφὴν ἐκείνου πρόνοιαν καὶ γενναίαν ἀντίστασιν, ἡ ἡμετέρα Ἐκκλησία διέμεινεν ἀπηλλαγμένη, τρανῶς δὲ καὶ πανηγυρικῶς ἐπιμαρτυρεῖται σήμερον ἐκ τῶν ἐν Γερμανίᾳ γινομένων. Νέφος ἀνδρῶν σοφῶν καὶ Χριστιανῶν εὐσεβῶν (ὧν προεξάρχουσιν ἑπτὰ περικλεεῖς θεολόγοι, ὁ Δοιλίγγερος, ὁ Ῥάϊγκενς, ὁ Σοῦλτε, ὁ Οὔβερ, ὁ Μάασεν, ὁ Λάγγεν, καὶ ὁ Φρίδριχ, τὸ ἄκρον ἄωτον τῆς ἀνὰ πᾶσαν τὴν Εὐρώπην διαλαμπούσης Ἐκκλησιαστικῆς καὶ πολιτικῆς σοφίας), ἀποδιοπομπούμενοι τὰς ἀθεμίτους ἀξιώσεις τῆς Παπικῆς ἀλαζονείας, καὶ τὸ παλαιὸν τῆς Ἐκκλῃσίας πολίτευμα εὐσεβοφρόνως περιέποντες, συνῆλθον ἐν Μονάχῳ κατὰ τὴν 10/22 Σεπτεμβρίου, ὅπως ἐν ἐλευθέρᾳ συζητήσει καταρτίσωσι τὸ πρόγραμμα τῶν καλουμένων "Παλαιῶν καθολικῶν". Τοῦ προγράμματος τούτου παρατίθεμαι ἐνταῦθα τὸ 2ον ἄρθρον, παρακαλῶν πάντα χριστιανόν, πάντα λογικὸν καὶ εὐθὺν ἄν-

σύνταξις καὶ ἔκδοσις τῶν περιφήμων ψευδισιδωρείων διατάξεων, ἐν αἷς παντοῖαι ἐπιστολαὶ καὶ διατάξεις, γεγραμμέναι δῆθεν ὑπὸ τῶν Παπῶν τοῦ Β′ καὶ Γ′

θρωπον, παραβαλεῖν αὐτὸ πρὸς τὰ ὑπὸ Φωτίου λεγόμενα, ὅπως ἴδῃ, ὅτι καὶ σήμερον ἔτι οὐδὲν ἄλλο λέγουσιν οἱ τῆς Παπικῆς φιλαρχίας κατεξανιστάμενοι, ἢ ὅ,τι πρὸ δέκα αἰώνων ὁ Φώτιος ἔλεγε, τὴν ἀντίχριστον ἐκείνην ἀποκρούων ἀλαζονείαν, καὶ εὐσεβοφρόνως διϊσχυριζόμενος, ὅτι οὐδεὶς δύναται τοῖς ἑτέρου ἐπεισπειδᾷν ὁρίοις, ἀλλ' ἕκαστος ὀφείλει μένειν ἐντὸς τῶν ὁρίων αὑτοῦ, καθ' ἃ αἱ οἰκουμενικαὶ Σύνοδοι διωρίσαντο. "Ἀποδεχόμενοι ἐγ-
« καρδίως (λέγουσιν οἱ "Παλαιοὶ Καθολικοί") τὸ παλαιὸν πολίτευμα τῆς
« Ἐκκλησίας, ἀποκρούομεν πᾶσαν ἀπόπειραν ζητοῦσαν νὰ διώξῃ τοὺς
« Ἐπισκόπους ἐκ τῆς ἀμέσου καὶ ἀνεξαρτήτου κυβερνήσεως τῶν καθ'
« ἑκάστην Ἐκκλησιῶν. Ἀποῤῥίπτομεν τὴν ἐν τοῖς ψηφίσμασι τοῦ
« Βατικανοῦ περιεχομένην διδασκαλίαν, ὅτι μόνος ὁ Παπας θεόθεν
« ἐγκατέστη ὡς ἀποκλειστικὸς φορεὺς πάσης Ἐκκλη-
« σιαστικῆς ἀρχῆς καὶ ἐξουσίας (τί ἄλλο παρὰ τοῦτο ἀπέῤῥι-
« πτε καὶ ὁ Φώτιος;)....... Ὁμολογοῦμεν τὸ πρωτεῖον τοῦ Ῥωμαϊκοῦ
« Ἐπισκόπου, ὡς ἀνεγνωρίσθη τοῦτο ἐπὶ τῇ βάσει τῆς Γραφῆς ὑπὸ τῶν
« Πατέρων καὶ τῶν Συνόδων ἐν τῇ παλαιᾷ ἀδιαιρέτῳ χριστιανικῇ Ἐκκλη-
« σίᾳ (τοῦτ' αὐτὸ τὸ πρωτεῖον καὶ ὁ Φώτιος καὶ σύμπασα ἡ Ἀνατολικὴ
« Ἐκκλησία οὐδέποτε ἠρνήσατο, οὐδὲ ἀρνεῖται, τῷ Πάπᾳ). Διακηρύτ-
« τομεν, ὅτι τὰ δόγματα τῆς πίστεως δύνανται νὰ ὁρισθῶσιν οὐχὶ
« ἁπλῶς διὰ τῆς ῥήτρας τοῦ ἑκάστοτε Πάπα καὶ διὰ τῆς ῥητῆς ἢ σιωπηλῆς
« συγκαταθέσεως τῶν ὑπακοὴν ἀπόλυτον πρὸς τὸν Πάπαν ὀμοσάντων Ἐ-
« πισκόπων, ἀλλὰ συμφώνως πρὸς τὴν ἁγίαν Γραφὴν καὶ
« τὴν παλαιὰν τῆς Ἐκκλησίας παράδοσιν, ὡς αὕτη
« ἡρμηνεύθη ὑπὸ τῶν κανονικῶν Πατέρων καὶ τῶν
« Συνόδων.—....Ἐντόνως ἰσχυριζόμεθα, ὅτι αἱ περὶ δογμάτων
« ἀποφάσεις μιᾶς συνόδου ὀφείλουσιν ἐν τῇ ἀμέσῳ συνειδήσει τοῦ καθολι-
« κοῦ πληρώματος καὶ ἐν τῇ θεολογικῇ ἐπιστήμῃ νὰ καταφαίνωνται ὡς
« συνᾴδουσαι πληρέστατα πρὸς τὴν ἀρχαιοτάτην καὶ ἀνέκαθεν παραδεδο-
« μένην πίστιν τῆς Ἐκκλησίας. κ. τ. λ." (κατὰ τὴν ἐν τῇ Κλειοῖ δημοσιευθεῖσαν μετάφρασιν τοῦ προγράμματος τῶν "παλαιῶν καθολικῶν".— ἀριθμ. 535 τῆς 18/30 Σεπτεμβρίου).

αἰῶνος, συνεχαλκεύθησαν καὶ συνεχωνεύθησαν, πρὸς ὑποστήριξιν τῶν πρωτείων τοῦ Πάπα καὶ τῶν ἄλλων παραλόγων ἀξιώσεων τῆς ἐν Ῥώμῃ Ἐκκλησίας. Τότε ὁμοίως ἤρξαντο διαδιδόναι καὶ ἐν τῇ Ἀνατολῇ τὴν ἐν τῷ Συμβόλῳ πανάθεσμον προσθήκην "καὶ ἐκ τοῦ « Υἱοῦ," καὶ αὐθαδῶς εἰσήλασαν εἰς τὴν Βουλγαρίαν, ἣν ἠγωνίσαντο ἀποσπᾶσαι τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας, καὶ μυρία ἄλλα τοιαῦτα ἐμηχανήσαντο πρὸς διάδοσιν τῶν παρατόλμων καινοτομιῶν, δι' ὧν μετεποίησαν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ εἰς ἐργαστήριον τῶν φιλοδόξων αὐτῶν βουλευμάτων. Ἀλλ' εἰς μάτην ἐμόχθησαν, ἄγρυπνον εὑρόντες τὸν ποιμένα τὸν καλόν, καὶ πρόθυμον τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ τῶν προβάτων. Τοιούτους εὗρον καὶ τοὺς διαδόχους τοῦ Φωτίου, καρτερικῶς ἀντικρούοντας πᾶσαν καινοτομίαν, καὶ οὐδὲ τὴν ἐλαχίστην ἐπιτρέποντας αὐτοῖς ἑτεροδιδασκαλίαν ἐν τῇ Ἀνατολῇ, ἀλλ' ἐπιμελῶς ἀγρυπνοῦντας ὑπὲρ τοῦ ποιμνίου. Ὅτε δὲ τέλος πάντων ἡ Ῥωμαϊκὴ αὐθάδεια ἐκορυφώθη, ἀναφανδὸν διδάσκουσα παραπεποιημένον τὸ Σύμβολον, καὶ τὴν χρῆσιν τῶν ἀζύμων εἰσαγαγοῦσα εἰς τὴν τέλεσιν τοῦ μυστηρίου τῆς Θείας μεταλήψεως, τότε ἡ Ἀνατολικὴ Ἐκκλησία μετὰ πολλὰς καὶ ἀδελφικὰς νουθεσίας, αἷς ἡ Ῥωμαϊκὴ ὀφρὺς οὐδαμῶς ἠθέλησεν ὑπακοῦσαι, ἀπέκοψε τοῦ μεγάλου σώματος τῆς Ἐκκλησίας τὸ σεσηπὸς μέλος, ἐξαλείψασα ἀπὸ τῶν διπτύχων τὸ ὄνομα τοῦ Ἐπισκό-

που Ῥώμης, καὶ κατὰ γράμμα πληρώσασα τὴν τοῦ Σωτῆρος ἡμῶν ἐντολήν· “Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ « ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ « καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν « ἀδελφόν σου. Ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ « σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων « ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. Ἐὰν δὲ παρακούσῃ αὐ- « τῶν, εἰπὲ τῇ Ἐκκλησίᾳ. Ἐὰν δὲ καὶ τῆς Ἐκ- « κλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης”.—Ματθ. ΙΗ', 15—18.

Ἔκτοτε πολλῷ τῶν προτέρων θρασύτεραι ἐπῆλθον αἱ ἐπιθέσεις καὶ ἐπιβουλαὶ τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, ὀρθότερον δ' εἰπεῖν, τῶν διεπόντων τὴν Ῥωμαϊκὴν Ἐκκλησίαν, κατὰ τῆς Ἀνατολικῆς· συνέτειναν δὲ πρὸς τοῦτο καὶ οἱ τότε καιροί, καθ' οὓς ἡ μὲν Βυζαντινὴ αὐτοκρατορία βαθμηδὸν ἐξησθένει καὶ ἐξέπιπτεν, οἱ δὲ ἐν τῇ Δύσει ἡγεμόνες καὶ λαοί, τῇ Παπικῇ δουλεύοντες ἀλαζονείᾳ, προθύμως ἐξετέλουν τὰ δεδογμένα αὐτῇ. Βία λοιπὸν καὶ κατάκτησις ἦσαν ἤδη τὰ ὅπλα, δι' ὧν ἡ Ῥώμη προὔθετο καταβαλεῖν τὴν ἄλλως ἀκατάβλητον ἐπιμονὴν τῶν Ἀνατολικῶν λαῶν εἰς τὴν ὀρθοδοξίαν· καὶ γνωστότατόν ἐστιν, ὅτι κατώρθωσε μὲν ἐπὶ τέλους τὴν διὰ τῶν Σταυροφόρων κατάκτησιν τῆς Κωνσταντινουπόλεως, τὸν δὲ προαιώνιον πόθον αὐτῆς τοῦ καταχτήσασθαι καὶ τὴν Ἀνατολικὴν Ἐκκλησίαν

§ 9. Τίνι οὖν τῶν πέντε εἰς μίαν αἱ πέντε συνάγονται; Δῆλον ὅτι τῇ πρώτῃ. Ἤδη γὰρ ἐδείχθη πρωτεύειν ἀεὶ τῶν πολλῶν τὸ συνάγον ταῦτα εἰς ἓν καὶ ἑνοῦν. Αὕτη δέ ἐστιν ἡ τῆς Ῥώμης· καὶ τοῦτο παρὰ πάντων ἁπλῶς τῶν Χριστιανῶν δέδοται.[81] Ἐπειδὴ οὖν διὰ ταύτης ἡ καθόλου Ἐκκλησία ἔχει τὸ εἶναι μίαν, ὅταν μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν λέγωμεν, πάντως μίαν εἶναι διὰ τὸ ἕπεσθαι τῇ τῆς Ῥώμης Ἐκκλησίας ὁμολογίᾳ νοήσομεν, ὀ ρ θ ῶ ς κ ρ ί ν ο ν τ ε ς. Ὅστις ἄρα οὐχ ἕπεται τῇ τῆς Ῥώμης Ἐκκλησίᾳ ἐξῴκισται τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, τῷ ἀναθέματι ὑποπεσὼν εἰς ὄρη καὶ εἰς ἐρημίας ἀποπλανᾶται, καὶ βάραθρα, καὶ τόπους οἰκεῖ, οἷς οὐκ ἐπισκοπεῖ Κύριος·[82] Βλέπετε γάρ, ὡς οὐκ ἐμὰ ταῦτα, ἀλλ' ΕΚ ΤΟΥ ΙΕΡΟΥ ΣΥΜΒΟΛΟΥ,[83] καὶ τῶν τὴν Ἐκκλησίαν διαταξάντων ἁγίων Πατέρων.[84]

---

[81] Ὅταν δηλονότι ὁμολογῶσιν, ὅτι πιστεύουσιν εἰς μίαν Ἐκκλησίαν.

[82] Τοῦτο λοιπόν, ὡς φαίνεται, τὸ ἀνάθεμα φεύγοντες καὶ οἱ τὸ ῥῆμα "πιστεύω" πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου ἐννοοῦντες, σπεύδουσιν ἕπεσθαι τῇ τῆς Ῥώμης Ἐκκλησίᾳ, Γεωργίῳ πειθόμενοι τῷ Τραπεζουντίῳ. Ἐπαινετοὶ τῆς εὐπειθείας!

[83] Ὀρθῶς τῇ ἀληθείᾳ καὶ προσηκόντως· οὕτω γὰρ λέγουσι νῦν καὶ οἱ τὰ τῆς Ἐκκλησίας διέποντες, ἄξιοι μαθηταὶ τοῦ λογιωτάτου Τραπεζουντίου.

[84] Ἀλλὰ τίς τῶν Πατέρων εἶπε, "πιστεύετε εἰς τὴν καθολικὴν Ἐκκλησίαν"; Οὐδεὶς οὐδαμοῦ. Εἶπε δὲ τοῦτο ἐκ τῶν ἀρχαίων ὁ Ἄρειος καὶ ὁ Νεστόριος, ἐκ δὲ τῶν νεωτέρων ὁ Fleury, ὁ De-Maistre καὶ πάντες οἱ Ἰησουΐται. Τοῦτ' αὐτὸ λέγουσι καὶ νῦν ὅσοι πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου ἐννοοῦσι τὸ ῥῆμα "πιστεύω".

...Τίνι ἄρα τῶν πεντε εἰς μίαν τὰς πάσας ἀνάξομεν; Τίνι; ὢ τῶν συμφορῶν! Οὐκ ἔστι δυνατὸν ἄλλην νυνὶ λέγειν· οὐ γὰρ ἔστιν ἄλλη, ἀλλὰ πᾶσαι ὑπὸ τοῦ Μαχούμετ καταποθεῖσαι μόνην κατέλιπον τὴν τῆς Ῥώμης. Εἰ γὰρ καὶ ἴχνος τι καταλελεῖφθαι τῶν τεσσάρων θρόνων δοκοίη, ἀλλ' ἐπικίνδυνόν ἐστι καὶ λίαν φοβερὸν τοῖς ἀγραμμάτοις καὶ λίαν βεβαρβαρωμένοις ἀνθρώποις θαῤῥεῖν, καὶ ἐξ ἐκείνων ἠρτῆσθαι τὴν ὑμετέραν σωτηρίαν, οὓς οἴδαμεν μὴ δύνασθαι διακρίνειν τὰ τοιαῦτα. Πῶς γὰρ τὰς θείας νοήσουσι Γραφὰς οἱ μηδὲ κἂν γράμματα εἰδότες, οἱ μηδὲ κἂν ἀναγινώσκειν τὰ γεγραμμένα μαθόντες;[85]...

§ 10. "Ἐπειδὴ οὖν μία ἐστὶν ἡ καθολικὴ Ἐκκλησία καὶ μία τῇ τῆς Ῥώμης, ὡς καὶ ὁ λόγος ἀπέδειξε, καὶ τὰ πράγματα πείθεσθαι καὶ μὴ θέλοντας ἀναγκάζει, πάντως δεῖ καὶ πάντας ὑμᾶς, τῶν ἄλλων μᾶλλον ὡς φρονιμωτέρους, εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν πιστεύοντας, μίαν εἶναι τὴν καθόλου τῇ τῆς Ῥώμης ὁμολογεῖν, καὶ τὰ κυρωθέντα Συνοδικῶς πιστεύειν τε καὶ κηρύττειν, οὕτω τοῦ ἄκρου

---

[85] Καὶ ὅμως οἱ τότε ἐν τῇ Ἀνατολῇ κληρικοὶ ἦσαν ἀσυγκρίτως πολυμαθέστεροι τῶν ἐν τῇ Δύσει. Παρατηρητέον δὲ ὅτι οἱ κατηγορούμενοι ὑπὸ τοῦ Τραπεζουντίου ὡς ἀγράμματοι καρτερικώτατα ἀντέστησαν κατὰ τῆς Παπικῆς ἀλαζονείας, καὶ ἀντέκρουσαν τὴν ἐπίβουλον διδασκαλίαν τῶν ἐκ Ῥώμης ἀποστόλων· οἱ δὲ νῦν πολυθρύλλητοι σοφοὶ θεολόγοι ἀσπάζονται ταύτην πληρέστατα.

Ἀρχιερέως διορίζοντος.[86] ... Ὅτι μὲν οὖν εἰς μίαν χρὴ Ἐκκλησίαν πιστεύειν, οἴδασι πάντες χριστιανοί, καὶ οὐδὲ τῶν αἱρετικῶν τις τοῦτο ἀρνήσεται· πῶς δὲ μία, ὀλίγοι οἴδασι... Ὁ δὲ λόγος ἀπέδειξε, καὶ τὰ πράγματα διὰ τῶν συμφορῶν κηρύττει, μίαν εἶναι τὴν καθολικὴν Ἐκκλησίαν οὐδεμιᾷ τῶν Ἐκκλησιῶν ἄλλῃ, εἰ μὴ μόνον τῇ τῆς Ῥώμης. Ἀναθέματι ἄρα ὑπόκειται ὁ μὴ ταύτῃ ἑπόμενος, μηδὲ πιστεύων ὡς αὕτη. Πᾶσαι γὰρ αἱ ἅγιαι καὶ καθολικαὶ Σύνοδοι, ἀπὸ τῆς δευτέρας εὐθὺς ἀρξάμεναι, τῷ ἀναθέματι παραδιδόασι πάντας τοὺς μὴ εἰς μίαν Ἐκκλησίαν πιστεύοντας καθολικὴν καὶ ἁγίαν·[87] μίαν δὲ εἰπόντες, ὡρισμένως μίαν ἐνόησαν. Εἰ γὰρ μὴ ὡρισμένως, ἀορίστως ἄρα· ὅπερ πάσης ἐστὶ βλασφημίας μεστόν. Πῶς γὰρ εἰς μίαν πιστεύεις, μὴ εἰδὼς εἰς τίνα;... "

§ 11 "....Ἡμεῖς δὲ εἰς μίαν πιστεύειν Ἐκκλησίαν παρ' αὐτοῦ ΤΟΥ ΣΥΜΒΟΛΟΥ κελευόμεθα.[88] Τάξις δὲ οὐκ ἔσται ἐν ταῖς Ἐκκλησίαις, μὴ οὔσης τινὸς πρώ-

---

[86] Οὕτω διορίζει ὁ ἐν Ῥώμῃ ἄκρος Ἀρχιερεύς· κλίνατε λοιπὸν γόνυ ἐνώπιον αὐτοῦ οἱ διδάσκοντες πιστεύειν εἰς τὴν καθολικὴν Ἐκκλησίαν, καὶ πρηνεῖς εἰς ἔδαφος καταφιλήσατε τὸν ἁγιώτατον αὐτοῦ πόδα.

[87] Ἰδοὺ καὶ ἕτερον ἀνάθεμα, ὃ φεύγοντες οἱ πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω" νοοῦντες ἔσπευσαν ἐκδηλῶσαι τὴν πίστιν αὐτῶν τῇ μιᾷ καθολικῇ Ἐκκλησίᾳ, τῇ ἐν Ῥώμῃ, ἵνα μὴ τῷ ἀναθέματι ὑποπέσωσι. Θαυμαστοὶ τῆς προθυμίας!

[88] Οὕτω λέγει καὶ ὁ Σεβασμιώτατος Ἀρχιεπίσκοπος Σύρου καὶ πάντες οἱ πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω" ἐννοοῦντες, ὡς ἄξιοι μαθηταὶ τοῦ καλοῦ διδασκάλου Γεωργίου τοῦ Τραπεζουντίου.

της καὶ δευτέρας. Πρώτη δὲ ἡ τῆς Ῥώμης. Ταύτῃ ἄρα δεῖ ἕπεσθαι ὡς πρώτῃ τῷ ἀξιώματι, οὐ τῇ ἀπαριθμήσει. . . . . Ἡ δὲ τῆς Ῥώμης Ἐκκλησία καὶ ἦν καὶ ἔστι καὶ ἔσται πρώτη πασῶν τῶν Ἐκκλησιῶν. Καὶ ὁ ταύτης ἄρα ποιμὴν πρῶτός ἐστι τῶν ποιμένων πάντων τῆς Ἐκκλησίας, οὐ τῇ ἀπαριθμήσει, ἀλλὰ τῇ ἀξίᾳ. Ὥσπερ γὰρ Ἐκκλησία ἔχει πρὸς Ἐκκλησίαν, οὕτω καὶ ποιμὴν πρὸς ποιμένα. Οὗτος ἄρα ἐστὶν ὁ διάδοχος τοῦ πρώτου τῶν Ἀποστόλων Πέτρου. Πάντες γὰρ οἱ μεγάλοι Ἀρχιερεῖς τῶν Ἀποστόλων καὶ λέγονται καί εἰσι διάδοχοι· καὶ ὁ πρῶτος Ἀρχιερεὺς ἄρα τοῦ κορυφαίου τῶν Ἀποστόλων. Ἐδόθησαν δὲ αἱ κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν μόνῳ ἀμέσως τῷ Πέτρῳ· καὶ τῷ Πάπᾳ ἄρα κατὰ διαδοχήν. Ὅσοι οὖν τῶν Ἀρχιερέων διέσχινται ἀπὸ τῆς Ἐκκλησίας τῆς Ῥώμης, μὴ μνημονεύοντες τοῦ ἄκρου Ἀρχιερέως, ὡς δεῖ, οὐκ ἔχουσι τὰς κλεῖς. Διὰ τοῦτο καὶ αὐτοὶ καὶ οἱ ἀκολουθοῦντες αὐτοῖς κράξουσι μέν, Κύριε, Κύριε, ἄνοιξον, ἀκούσονται δέ, φεῦ τῆς ζημίας! οὐκ οἶδα ὑμᾶς." [89]

§ 12. "Ἀδύνατον γὰρ εἶναι πιστεύειν χρὴ αἱρέσει περιπεσεῖν τὴν τῆς Ῥώμης Ἐκκλησίαν πρώτην οὖσαν,

---

[89] Ταύτην, ὡς φαίνεται, τὴν μεγάλην καὶ φοβερὰν ζημίαν φεύγοντες οἱ καθ' ἡμᾶς θεολόγοι, καὶ μάλιστα ὅσοι τυγχάνουσιν ὄντες Ἀρχιερεῖς, καὶ κινδυνεύοντες ἀπολέσαι τὰς κλεῖς, προθυμότατα ὁμολογοῦσι πιστεύειν εἰς τὴν μίαν καθολικὴν Ἐκκλησίαν Γεωργίου τοῦ Τραπεζουντίου.

κήρυγμα τοῦτο πανταχοῦ τῆς Ἀνατολῆς διεκηρύττετο τότε αὐθαδέστερον ἢ πρότερον ὑπὸ σμήνους ἀποστόλων τῆς Ῥώμης, καὶ οὐδέποτε ἐπαύσατο ἐφεξῆς κηρυττόμενον, τοῦτο οὐδεὶς ἀγνοεῖ τῶν ἡμετέρων. Ὅτι δὲ τοῦ κηρύγματος τούτου προεξῆρχον οἱ ἐν Ῥώμῃ ἐκλατινισθέντες κληρικοὶ καὶ λαϊκοὶ λόγιοι, τοῦτο ἴσως ἀγνοοῦσι πολλοί· καὶ τὸ πάντων αἴσχιστον, ὅτι πρῶτοι οἱ ἄτιμοι οὗτοι ἐξωμόται, ἅτε δὴ Ἕλληνες ὄντες, καὶ κάλλιον τῶν ξένων γινώσκοντες ἑρμηνεύειν τὰ Ἑλληνιστὶ γεγραμμένα, διηρμήνευον πρὸς τοὺς ἐν τῇ Ἀνατολῇ τά τε συγγράμματα τῶν Πατέρων, ἐξ ὧν κατὰ τὴν κρίσιν αὐτῶν μαρτυρεῖται ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ, καὶ δὴ καὶ τὸ Σύμβολον τῆς πίστεως, καθ' ὃ διδάσκονται μὲν πιστεύειν εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν, οὐ κατανοοῦσι δέ, ὅτι αὕτη ἐστὶν ἡ ἐν Ῥώμῃ Ἐκκλησία, ἡ μόνη μία, ἡ μόνη καθολική, ἡ μόνη Ἀποστολική, ἧς ἐκτὸς οὐκ ἔστι σωτηρία!

Ἰδού, φίλτατε, πότε καὶ πόθεν καὶ πῶς ὑπεισῆλθεν ἐπιβούλως καὶ δολίως εἰς τὴν ἡμετέραν Ἐκκλησίαν ἡ διεστραμμένη διδασκαλία τοῦ ἐννοεῖν πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου τὸ ῥῆμα "πιστεύω", καὶ πῶς ἀπεπλανήθημεν ἀνοήτως εἰς τὸ καταφρονῆσαι μὲν τῆς ἑρμηνείας τοῦ Συμβόλου, ἣν παρὰ πασῶν τῶν οἰκουμενικῶν Συνόδων καὶ παρὰ πάντων τῶν θεοφόρων τῆς ὀρθοδόξου ἡμῶν Ἐκκλησίας Πατέρων παρελάβομεν,

σχίσμα ἀπόλωλε καὶ ἡ βασιλεία καὶ ἡ Ἐκκλησία ἡμῶν. Ἀκούσωμεν λοιπὸν καὶ τοὺς γελοίους αὐτοῦ ὀδυρμούς.

§ 18. "Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος οὐ δύναμαι κατέχειν ἐμαυτόν, ἀλλὰ θερμοῖς δάκρυσι κλαίων καὶ ὀδυρόμενος καταβρέχομαι.[91] Τίς γὰρ οὐ θρηνήσει τὰς ἡμετέρας συμφοράς; Τίς οὐκ ἐπιστενάξει ταῖς ἡμετέραις δυστυχίαις, ἢ μᾶλλον, εἰ μὴ φορτικὸν εἰπεῖν, ταῖς ἡμετέραις ἀνοίαις τε καὶ τιμωρίαις; Οἴχεται τὰ τῆς βασιλείας Γραικῶν. Ἀπόλωλε τὰ τῆς Ἐκκλησίας ἁπλῶς πάντα, διὰ τὸ ἐπιμεῖναι ἡμᾶς πολὺν χρόνον τῷ σχίσματι. Τίς ποιητὴς ἐκτραγῳδήσει ταῦτα; Τίς ῥήτωρ διηγήσεται; Τίς γράμμασι τοῖς ὕστερον τὰ τοιαῦτα καὶ τοσαῦτα πταίσματα καὶ πτώματα ἡμῶν παραδώσει; Διὰ γὰρ τὰς ἁμαρτίας τοῦ λαοῦ πάσχουσιν ἔστιν ὅτε καὶ οἱ προεστῶτες, κἂν θεῖοι ὦσιν ἄνδρες καὶ τὴν πίστιν καὶ τὸν βίον. Ἰδοὺ γὰρ ὁ τῆς Κωνσταντινουπόλεως θεῖος Πατριάρχης, ὁ γρήγορος νοῦς, ὁ ὑπὲρ τῆς τοῦ ποιμνίου σωτηρίας γρηγορῶν, ὁ φερώνυμος καὶ ἱερὸς Γρηγόριος, ὁ μεθ' ἑνὸς μόνου ἐφ' ἡμῶν ὁμολογητής τε καὶ μάρτυς,[92] . . . οὗτος οὖν ὁ

---

[91] Ἐνταῦθα προσήκει μάλιστα ἐπιφωνῆσαι τῷ ὀδυρομένῳ Τραπεζουντίῳ τὸ τοῦ Ἀριστοφάνους ἐκεῖνο, "ὡς σεμνὸς οὑπίτριπτος!"

[92] Οὗτός ἐστιν, ὡς φαίνεται, Γρηγόριος ὁ Πρωτοσύγκελλος, ὃν πρὸ μικροῦ εἴδομεν ἐκλατινισθέντα καὶ ὁμοφρονήσαντα τῷ Βησσαρίωνι καὶ τῷ Ῥωσσίας Ἰσιδώρῳ. Ὠνομάσθη δὲ Πατριάρχης Κωνσταντινουπόλεως ὑπὸ

σθέντες εἰς τὴν ταπεινὴν καὶ ἄτιμον ἐκείνην, εἰς ἣν ἀνήκουσιν οἱ ὑπὸ τοῦ θείου Παύλου ἐλεγχόμενοι, ὡς "θέλοντες μὲν εἶναι νομοδιδάσκαλοι, μὴ νο-« οῦντες δὲ μήτε ἃ λέγουσι, μήτε περὶ τίνων δια-« βεβαιοῦνται." [79]

Ἀλλ' ἐπὶ τὸ προκείμενον καὶ ἐπὶ τὰς ἀποδείξεις.

Ἐλέγετο δὴ ὅτι οἱ ἐν Ῥώμῃ ἐκλατινισθέντες κληρικοὶ καὶ λαϊκοὶ λόγιοι, οὗτοι πρῶτοι διέσπειρον ἐν τῇ Ἀνατολῇ, εὐθὺς μετὰ τὴν ὑποδούλωσιν αὐτῆς, τὴν διεστραμμένην ἐκείνην ἑρμηνείαν τοῦ Συμβόλου, ἐξ ἧς ἐπορίζοντο τὸ ἐλεεινὸν συμπέρασμα, ὅτι καὶ αὐτῆς τῆς διδασκαλίας τοῦ Συμβόλου παρακούομεν καὶ καταφρονοῦμεν ἡμεῖς οἱ σχισματικοί, διδάσκοντος ἡμᾶς πιστεύειν εἰς τὴν ἐν Ῥώμῃ Ἐκκλησίαν, καὶ προσκυνεῖν τὸν Ἐπίσκοπον αὐτῆς ὡς ἀναμάρτητον κεφαλὴν τῆς καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας. Ἄκουσον νῦν (μᾶλλον δὲ ἀκουσάτω ὁ αἱρετικὸν ἀποκαλέσας με Ἀρχιεπίσκοπος Σύρου) ὅ,τι περὶ τούτου ἔγραφεν ἐκ Ῥώμης πρὸς τοὺς ἐν Κρήτῃ κληρικοὺς καὶ λαϊκοὺς ὁ ἄρτι μνημονευθεὶς συμπολίτης αὐτῶν Γεώργιος ὁ Τραπεζούντιος, ὁ τοῦ Νικολάου Ε' πεφιλημένος γραμματεύς, εὐθὺς μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως. Ἐπειδὴ δὲ μακρά ἐστιν αὐτοῦ ἡ ἐπιστολή, ὅλας 40 στήλας πληροῦσα ἐν τῇ τοῦ Migne Πατρο-

---

[79] Πρὸς Τιμόθ. Α' ἐπιστ. Α', 6—7.

ποιήσῃ αὐτοὺς προσηλύτους τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ἣν μόνην παρίστησι μίαν καὶ καθολικὴν καὶ Ἀποστολικήν. Καὶ ὅμως ἐπὶ τοσοῦτον ἡ ἀντίχριστος αὕτη αὐθάδεια ἐπέτυχε τοῦ σκοποῦ, ὥστε οὐ μόνον τοὺς ἁπλουστέρους ἐσαγήνευσεν, ἀλλὰ καὶ αὐτοὺς τοὺς "δήμου μεῖζον φρονοῦντας", καὶ αὐτοὺς τοὺς ποιμένας τῆς Ἐκκλησίας, οἵτινες μέχρι νῦν ἐπιμένουσιν ἀναγινώσκοντες τὸ Σύμβολον τῆς πίστεως κατὰ Γεώργιον τὸν Τραπεζούντιον, αἱρετικοὺς ὀνομάζοντες τοὺς ὀρθῶς ἀναγινώσκοντας αὐτό, καὶ νεωτερισμὸν (οἴμοι) ἀποκαλοῦντες τὴν ὀρθὴν αὐτῶν ἀνάγνωσιν! Ἀκούσωμεν ἤδη καὶ τοῦ σοβαροῦ Καρδιναλίου Βησσαρίωνος, ἕτερον τοῦ Συμβόλου μέρος ἑρμηνεύοντος πᾶσι τοῖς ἐν τῇ Ἀνατολῇ κληρικοῖς καὶ λαϊκοῖς· ἀλλὰ καὶ τούτου τῆς ἐπιστολῆς μακρᾶς οὔσης μικρὸν μέρος παρατίθεμαί σοι χάριν συντομίας. Πόσαι ἆρά γε τοιαῦται καταχθόνιοι ἐπιστολαὶ διεσπάρησαν τότε καὶ ἐφεξῆς πανταχοῦ τῆς Ἀνατολῆς, ἄγνωστοι οὖσαι ἡμῖν! Πόσοι δὲ ἀπόστολοι, ὡς μονιοὶ ἄγριοι ἐκ τῆς Δύσεως εἰς τὴν Ἀνατολὴν εἰσελάσαντες, κατελυμαίνοντο τὸν ἀμπελῶνα τοῦ Κυρίου, κροκοδείλου δάκρυα καταλείβοντες ἐπὶ τὸ νεκρὸν σῶμα τῆς Ἀνατολικῆς αὐτοκρατορίας, καὶ παραμυθίαν προσφέροντες τοῖς δουλεύουσιν ὀρθοδόξοις τὰς ἐπιστολὰς ταύτας τῶν ἐν Ῥώμῃ ἐξωμοτῶν, ὅπως καταστήσωσιν αὐτοὺς δούλους τῆς Παπικῆς αὐλῆς, καὶ οὕτω δουλεύωσι διττὴν δουλείαν, τὴν μὲν

ὡς ἰδίων πολλῷ μᾶλλον τῶν ἄλλων. Διὰ τοῦτο γράψαι πρὸς ὑμᾶς ᾠήθην δεῖν οὐκ ἐν σοφίᾳ λόγων ἀνθρωπίνων, ἀλλ' ἐν ἁπλότητι ἀληθείας καὶ ἀκριβείας δογμάτων, ὅσον ἐμοὶ ἐφικτόν. Πρῶτον οὖν περὶ τῆς τοῦ ἁγίου Πνεύματος θείας ἐκπορεύσεως ὀλίγα ῥητέον, εἶτα καὶ περὶ τοῦ μνημοσύνου τοῦ ἄκρου Ἀρχιερέως."

§ 2—6. Περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος.

§ 6. "Περὶ δὲ τοῦ δευτέρου, ὅτι χρὴ μνείαν ἐν ταῖς θείαις εὐχαριστίαις ποιεῖσθαι τοῦ Πάπα, λεκτέον πρὸς ὑμᾶς, Πατέρες, τὸ ἀληθές· ὅτι ἀδύνατόν ἐστι σωθῆναι τὸν μὴ πιστεύοντα εἰς μίαν καθολικὴν Ἐκκλησίαν· ἡ δὲ καθολικὴ μόνη ἡ τῆς Ῥώμης ἐστὶ μία· ἀδύνατον ἄρα ἐστὶ σωθῆναι τὸν μὴ πιστεύοντα εἰς τὴν Ἐκκλησίαν τῆς Ῥώμης.... Καὶ τοῦτο πάντες οἱ ἐπ' Ἐκκλησίας τὸ Σύμβολον ἐκφωνοῦντες κηρύττουσι μέν, οὐ νοοῦσι δέ. Ἐν γὰρ τῷ θείῳ Συμβόλῳ οἱ ἅγιοι Πατέρες πρῶτον μὲν πιστεύειν ἐκβοῶσιν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, καὶ συνάπτουσι καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον. Ἔπειτα δὲ τῆς εἰς τὴν ἁγίαν Τριάδα πίστεως ἐκφωνηθείσης, πιστεύειν φασὶν εἰς μίαν ἁγίαν καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν, τὴν ἐπὶ τῆς οἰκουμένης πάσης στρατευομένην τῷ Χριστῷ..."

§ 7. "Τίς οὖν αὕτη; Δῆλον ὅτι **Η ΤΗΣ ΡΩ-**

γνωτε, ἀδελφοί, τὴν τῶν Ἐκκλησιῶν κεφαλήν, τὴν τοῦ Πέτρου καθέδραν. Ἐπίγνωτε τὴν μητέρα τε καὶ διδάσκαλον... Αὕτη ἐστὶν ἐκείνη τῷ ὄντι, ἐφ' ᾗ ὁ Χριστὸς τὴν ἑαυτοῦ ᾠκοδόμησεν Ἐκκλησίαν. Αὕτη ἐστὶν ἡ τὴν τοῦ Πέτρου πίστιν κατέχουσά τε καὶ συνέχουσα, καὶ τοῖς ἄλλοις κηρύττουσα. Οἱ ταύτῃ ἑπόμενοι μίαν μετ' αὐτῆς Ἐκκλησίαν ποιοῦσιν. Οἱ ταύτης ἀπεσχισμένοι, καὶ τῆς μετ' αὐτῆς ἑνότητος διεῤῥηγμένοι, σωτηρίας τυχεῖν οὐκ ἂν δύναιντο· ἔξω γὰρ τῆς αὐλῆς τοῦ Χριστοῦ σωτηρία οὐκ ἔστι".…

"Ἀλλὰ μέγα ἡμῖν (φατέ) σκάνδαλον ἡ παρὰ Λατίνων ἐν τῷ θείῳ Συμβόλῳ γενομένη προσθήκη. Εἰ ὀρθῶς σκοπεῖν ἐθέλοιτε, ἀδελφοί, οὐ προσθήκη, ἀλλὰ ἀνάπτυξίς τε καὶ ἐπεξήγησίς ἐστι τὸ λεγόμενον· προσθήκη γάρ ἐστι καὶ κατ' αὐτοὺς τοὺς ἡμετέρους διδασκάλους ἡ τῶν ἐναντίων δογμάτων διδασκαλία· ἡ δὲ τῶν αὐτῶν τε καὶ ὁμοίων διασάφησις ἀνάπτυξίς ἐστι καὶ οὐ προσθήκη... Πολλὰ προσέθηκεν ἡ δευτέρα Σύνοδος τῷ τῆς ἐν Νικαίᾳ Συνόδου Συμβόλῳ· περὶ γὰρ τῆς τοῦ ἁγίου Πνεύματος θεότητος, περὶ τῆς τῆς Ἐκκλησίας ἑνότητος, περὶ βαπτίσματος, περὶ ἁμαρτιῶν ἀφέσεως, περὶ νεκρῶν ἀναστάσεως, περὶ ζωῆς αἰωνίου.[96] Πολλά τε καὶ ἄλλα εἴρηκεν, ὧν περὶ οὐδενὸς

---

[96] Ἐνταῦθα παρατηρητέον καλῶς, ὅτι ὁ Βησσαρίων οὐ τολμᾷ εἰπεῖν, ὡς ὁ Τραπεζούντιος λέγει, ὅτι τὸ Σύμβολον τῆς πίστεως διδάσκει ἡμᾶς πιστεύειν εἰς μίαν καθολικὴν Ἐκκλησίαν, οὐδ' ὅτι τοιαύτην διδασκαλίαν

ἡ πρώτη Σύνοδος ἀνεπτυγμένον πεποίηται λόγον. Πολλὰ οἱ μετὰ ταῦτα Πατέρες τὴν πίστιν ἐπεξεργαζόμενοι πλατύτερον ἐδίδαξαν· καὶ ὅμως οὐ προσθήκη, ἀλλὰ ἀνάπτυξις γέγονε.[97] Διὰ τί οὖν μὴ καὶ τῇ καθο-

---

προσέθηκαν ἐν τῷ Συμβόλῳ οἱ τῆς Β' οἰκουμενικῆς Συνόδου Πατέρες· ἀλλὰ διαῤῥήδην λέγει, ὅτι μόνον π ρ ο σ έ θ η κ α ν π ε ρ ὶ τ ῆ ς ἑ ν ό τ η τ ο ς τ ῆ ς Ἐ κ κ λ η σ ί α ς. Δῆλον οὖν ἐντεῦθεν, ὅτι οἱ τῶν ἡμετέρων ἐννοοῦντες πρὸ τοῦ Θ' ἄρθρου τὸ ῥῆμα "πιστεύω", καὶ ἑπόμενοι τῇ διδασκαλίᾳ τοῦ Τραπεζουντίου καὶ τοῦ Fleury, *καὶ αὐτοῦ τοῦ Καρδιναλίου Βησσαρίωνος φαίνονται Παπικώτεροι. Ἐκεῖνος μὲν γὰρ καὶ δεδουλωμένος ὑπὸ τὸν Πάπαν οὐκ ἐτόλμησεν εἰπεῖν, ὅτι τὸ Σύμβολον διδάσκει ἡμᾶς πιστεύειν εἰς μίαν καθολικὴν Ἐκκλησίαν· οὗτοι δὲ ἐν πληρεστάτῃ ἐλευθερίᾳ διατελοῦντες ὁμολογοῦσιν, ὡς ὁ Τραπεζούντιος, πίστιν εἰς τὴν Ἐκκλησίαν· αἶσχος!*

[97] *Τοῦτό ἐστι ψεῦδος ἀναιδέστατον, ὃ δὴ καὶ ἐν τῇ Φλωρεντινῇ Συνόδῳ ὁ Καρδινάλιος Ἰουλιανὸς ἀντέταξε τοῖς λόγοις τοῦ θαυμασίου Μάρκου τοῦ Ἐφέσου. Ἀλλ' ὁ δεινὸς ἐκεῖνος θεολόγος καὶ ῥήτωρ δι' ἀναντιῤῥήτων λόγων, οὓς ἐν τοῖς ἔμπροσθεν παρέθηκά σοι, πάσας τὰς τοῦ Καρδιναλίου φλυαρίας διεσκαριφήσατο. Συνέγραψε δὲ καὶ μετὰ τὴν εἰς τὴν Ἀνατολὴν ἐπάνοδον αὐτοῦ ὁ σοφὸς Ἀρχιερεὺς τοῦ Θεοῦ καὶ ἴδιον περὶ τούτου Διάλογον, ἐπιγραφόμενον "Λατῖνος, ἢ περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης", ἐν ᾧ διὰ τῶν αὐτῶν ἰσχυρῶν λόγων ἀποδείκνυσιν, ὅτι μετὰ τὴν ὑπὸ τῆς Β' Συνόδου γενομένην συμπλήρωσιν τοῦ Συμβόλου οὐδεὶς οὐδέποτ' ἐτόλμησε παραβῆναι τὸν ὑπὸ τῆς Γ' γενόμενον ὅρον "μηδενὶ ἐξεῖναι ἑτέραν πίστιν συγγράφειν ἢ συντιθέναι·" εἰ δέ τις ἐτόλμησε τοῦτο ποιῆσαι, ἀπεκηρύχθη ὡς αἱρετικός, ὃ δὴ καὶ ἐπῆλθε τῇ ἐν Ῥώμῃ Ἐκκλησίᾳ, ὅτε τὴν προσθήκην "καὶ ἐκ τοῦ Υἱοῦ" ἐτόλμησεν ἀποδέξασθαι ἐν τῷ Συμβόλῳ. Ἔκτοτε ἀπεσχίσθη τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας· καὶ πάλιν ἐφεξῆς διασχισθεῖσα, καὶ νῦν ἔτι διὰ τὴν ἀκόρεστον ἀλαζονείαν αὐτῆς ἕτερον κινήσασα σκάνδαλον καὶ σχίσμα, "εἰς ὄρη καὶ εἰς ἐρημίας ἀποπλανᾶται, καὶ βάραθρα καὶ τόπους οἰκεῖ, οἷς οὐκ ἐπισκοπεῖ Κύριος," ὡς εἶπε περὶ τῶν μὴ πιστευόντων εἰς αὐτὴν ὁ μαθητὴς αὐτῆς Γεώργιος ὁ Τραπεζούντιος.*

λικῇ Ἐκκλησίᾳ ταὐτὸ τοῦτο ποιῆσαι ἐξεγένετο, ὁμοίας αἱρετικῶν ἐπιστάσης ἀνάγκης";

"Ὅτι, φησί, τότε μὲν ἐξῆν, μετέπειτα δὲ τῆς τρίτης Συνόδου πρώτης πᾶσαν κωλυσάσης προσθήκην, οὐκ ἔξεστιν οὐδενὶ προσθεῖναι, οὐδ' αὐτὴν τὴν ἀλήθειαν".

"Ἀλλὰ ψευδὴς οὗτος ὁ λόγος, ἀδελφοί, καὶ τῷ ὄντι μωρός τε καὶ μάταιος.[98] . . . Ἀλλὰ ταπεινώσαντες ἑαυτοὺς τῷ Θεῷ, καὶ τοσούτοις ἀνδράσι σοφωτάτοις τε καὶ εὐλαβεστάτοις, οὓς ἡ Ῥωμαϊκὴ Ἐκκλησία τρέφει, ἑπόμενοι, τήν τε διδασκαλίαν καὶ πίστιν ἐκείνης ὑποδέξασθε, τόν τε Ἀρχιερέα καὶ ποιμένα αὐτῆς τῆς

---

[98] Ψεύστης καὶ μωρὸς καὶ μάταιός ἐστιν ὁ λέγων, ὅτι ἐγένετο προσθήκη τις ἐν τῷ Συμβόλῳ μετὰ τὴν ἐν Κωνσταντινουπόλει Β' οἰκουμεν. Σύνοδον, ἐν ᾗ κατηρτίσθη οἷον μέχρι νῦν ἀναγινώσκεται ἀμετάβλητον καὶ ἀμεταποίητον· ἐκτὸς μόνον ἐὰν ὁ ταῦτα λέγων ἐννοῇ τὰς ὑπὸ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας γενομένας ἐν αὐτῷ προσθήκας καὶ παρερμηνείας. Ἀλλ' ἐὰν τοῦτο λέγῃ, οὐ μόνον τὸ Σύμβολον τῆς πίστεως, ἀλλὰ καὶ πάντα τὰ μυστήρια καὶ πάσας τὰς Ἐκκλησιαστικὰς διατάξεις δύναται παραστῆσαι νενοθευμένας καὶ παραπεποιημένας ὑπὸ τῆς καινοτόμου ἐκείνης Ἐκκλησίας, καὶ τὸ βάπτισμα, καὶ τὴν θείαν κοινωνίαν, καὶ τὴν ἐξομολόγησιν, καὶ τὴν ἱερωσύνην, καὶ τὸν γάμον, καὶ πάντα ἐν ἑνὶ λόγῳ μεταπεποιημένα, καὶ τοσοῦτον τῆς Εὐαγγελικῆς καὶ Ἀποστολικῆς διδασκαλίας ἀπέχοντα, "ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης." Τὰς καινοτομίας ταύτας τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καὶ ἄλλοι τῶν ἡμετέρων κατὰ καιροὺς ἐστηλίτευσαν, πάντων δὲ μάλιστα ὁ πολυμαθέστατος καὶ Σεβασμιώτατος Μητροπολίτης Χίου, Γρηγόριος ὁ Βυζάντιος, ἐν ὅλῳ τῷ πέμπτῳ κεφαλαίῳ τῆς θαυμαστῆς αὐτοῦ πραγματείας, ἣ λίαν προσηκόντως ἐπιγέγραπται "Ἡ φωνὴ τῆς Ὀρθοδοξίας", καὶ οὐ μόνον ὑπὸ τῶν ἡμετέρων, ἀλλὰ καὶ ὑπὸ τῶν ἑτεροδόξων αὐτῶν ἐπαινεῖται διά τε τὴν ἱστορικὴν ἀκρίβειαν καὶ τὴν κεχαριτωμένην φράσιν τοῦ πολυσεβάστου συγγραφέως καὶ διαπρεποῦς Ἀρχιερέως.

Ἐκκλησίας κεφαλήν τε καὶ ἄρχοντα καὶ τῆς πίστεως ὁδηγόν τε καί διδάσκαλον ἡγησάμενοι, σέβεσθέ τε αὐτόν, καὶ ἡγουμένῳ τὴν πρὸς ζωὴν αἰώνιον φέρουσαν ἕπεσθε... Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω, εἷς βασιλεύς". [99]

"Ἐδόθη ἐν Οὐϊτερβίῳ πρὸ ἓξ Καλανδῶν Ἰουνίων ἔτει ἀπὸ Χριστοῦ ͵αυξγ΄ (1463) κ. τ. λ.

Β η σ α ρ ί ω ν, ἐλέῳ Θεοῦ Καρδινάλις καὶ Οἰκουμενικὸς Πατριάρχης Κωνσταντινουπόλεως, Νέας Ῥώμης, οἰκείᾳ χειρὶ ὑπέγραψα."—

Οἱ τελευταῖοι λόγοι τοῦ Ἐκλαμπροτάτου Καρδιναλίου κατ' οὐδὲν τῇ ἀληθείᾳ παραλλάσσουσι τοῦ γελοίου κηρύγματος, δι' οὗ ἡ τετράπηχυς ἐκείνη γυνὴ ἐξηπάτησε τοὺς Ἀθηναίους ἀποδέξασθαι τὸν Πεισίστρατον, ὡς δῆθεν ὑπὸ τῆς Ἀθηνᾶς εἰς αὐτοὺς ἀποστελλόμενον· "Ὦ Ἀθηναῖοι, δέχεσθε ἀγαθῷ νόῳ « Πεισίστρατον, τὸν αὐτὴ ἡ Ἀθηναίη τιμήσασα ἀνθρώ- « πων μάλιστα κατάγει εἰς τὴν ἑαυτῆς ἀκρόπολιν." [1] Ὁ πατὴρ τῆς ἱστορίας θαυμάζει ἐν τῷ ἱστορεῖν τὸ μηχάνημα τοῦτο τοῦ Πεισιστράτου, ὅτι οἱ Ἀθηναῖοι, οἱ πάντων τῶν Ἑλλήνων πρωτεύοντες τὴν σοφίαν,

[99] Ὢ τῆς ἀσεβοῦς βεβηλώσεως τοῦ Ὁμηρικοῦ ἔπους!

[1] Ἡροδότου Α', 60.

της καὶ δευτέρας. Πρώτη δὲ ἡ τῆς Ῥώμης. Ταύτῃ ἄρα δεῖ ἕπεσθαι ὡς πρώτῃ τῷ ἀξιώματι, οὐ τῇ ἀπαριθμήσει. . . . . Ἡ δὲ τῆς Ῥώμης Ἐκκλησία καὶ ἦν καὶ ἔστι καὶ ἔσται πρώτη πασῶν τῶν Ἐκκλησιῶν. Καὶ ὁ ταύτης ἄρα ποιμὴν πρῶτός ἐστι τῶν ποιμένων πάντων τῆς Ἐκκλησίας, οὐ τῇ ἀπαριθμήσει, ἀλλὰ τῇ ἀξίᾳ. Ὥσπερ γὰρ Ἐκκλησία ἔχει πρὸς Ἐκκλησίαν, οὕτω καὶ ποιμὴν πρὸς ποιμένα. Οὗτος ἄρα ἐστὶν ὁ διάδοχος τοῦ πρώτου τῶν Ἀποστόλων Πέτρου. Πάντες γὰρ οἱ μεγάλοι Ἀρχιερεῖς τῶν Ἀποστόλων καὶ λέγονται καί εἰσι διάδοχοι· καὶ ὁ πρῶτος Ἀρχιερεὺς ἄρα τοῦ κορυφαίου τῶν Ἀποστόλων. Ἐδόθησαν δὲ αἱ κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν μόνῳ ἀμέσως τῷ Πέτρῳ· καὶ τῷ Πάπᾳ ἄρα κατὰ διαδοχήν. Ὅσοι οὖν τῶν Ἀρχιερέων διέσχινται ἀπὸ τῆς Ἐκκλησίας τῆς Ῥώμης, μὴ μνημονεύοντες τοῦ ἄκρου Ἀρχιερέως, ὡς δεῖ, οὐκ ἔχουσι τὰς κλεῖς. Διὰ τοῦτο καὶ αὐτοὶ καὶ οἱ ἀκολουθοῦντες αὐτοῖς κράξουσι μέν, Κύριε, Κύριε, ἄνοιξον, ἀκούσονται δέ, φεῦ τῆς ζημίας! οὐκ οἶδα ὑμᾶς.”[89]

§ 12. “Ἀδύνατον γὰρ εἶναι πιστεύειν χρὴ αἱρέσει περιπεσεῖν τὴν τῆς Ῥώμης Ἐκκλησίαν πρώτην οὖσαν,

---

[89] Ταύτην, ὡς φαίνεται, τὴν μεγάλην καὶ φοβερὰν ζημίαν φεύγοντες οἱ καθ᾿ ἡμᾶς θεολόγοι, καὶ μάλιστα ὅσοι τυγχάνουσιν ὄντες Ἀρχιερεῖς, καὶ κινδυνεύοντες ἀπολέσαι τὰς κλεῖς, προθυμότατα ὁμολογοῦσι πιστεύειν εἰς τὴν μίαν καθολικὴν Ἐκκλησίαν Γεωργίου τοῦ Τραπεζουντίου.

ἢ τὸ μίαν εἶναι ἡ καθολικὴ ἔχει. Εἰ γὰρ καὶ αὕτη νοσήσει τὰ τῶν αἱρετικῶν, εἰς ποίαν μίαν τε καὶ ἁγίαν πιστεύσομεν οἱ Χριστιανοί; Ἔδει δὲ πάντως μίαν ἡμῖν δοθῆναι θεόθεν Ἐκκλησίαν, ἀσφαλῆ, βεβαίαν, μὴ δυναμένην πλανηθῆναι ἐν τοῖς τῆς εὐσεβείας δόγμασιν, ἵν' ἔχωμεν διωκόμενοι παρὰ τῶν αἱρετικῶν, ἢ καὶ αὐτοὶ ἀμφισβητοῦντες, ποῖ καταφύγομεν. Αὕτη δέ ἐστιν ἡ τῆς Ῥώμης. . . . Σκεπτέον δέ, τίς ποτε τῶν μεγάλων θρόνων καὶ Πατριαρχικῶν οὐ κατηκολούθησέ ποτε αἱρέσει; Πάντως οὐδείς, πλὴν τῆς Ῥώμης.[90] Τὸ δὲ μηδέποτε τοῦτο παθεῖν οὐκ ἔστιν ἀνθρώπινον, ἀλλὰ θεῖον. Ἡ γὰρ δύναμις τοῦ εἰπόντος 'καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς' ἐφύλαξε καὶ φυλάξει αὐτὴν ἄσπιλον, ἄμωμον, ἀμίαντον αἱρέσει, ὀρθοτομοῦσαν τὸν λόγον τῆς ἀληθείας. Διὰ ταῦτα πάντα ὁ μὴ ἀκολουθῶν αὐτῇ ἔξω ἐστὶ τῆς καθολικῆς Ἐκκλησίας."

Μετὰ πολλὰς ἄλλας τοιαύτας φλυαρίας, ἐκτιθεμένας ἐν §§ 13, 14, 15, 16 καὶ 17, καταλαμβάνεται ὁ ἄνθρωπος ὑπὸ λύπης ἀφάτου· καὶ κλαίει καὶ ὀδύρεται, ὅτι διὰ τὴν πολυχρόνιον ἐπιμονὴν ἡμῶν εἰς τὸ

---

[90] Τοὐναντίον τούτου μαρτυρεῖ ἡ Ἐκκλησιαστικὴ Ἱστορία ὑψηλῷ τῷ κηρύγματι, οὐκ ὀλίγους ἀριθμοῦσα Πάπας αἱρετικούς, καὶ Ἀρειανούς καὶ Μονοφυσίτας καὶ Σιμωνιακούς, κ. τ. λ., κ. τ. λ. Ἴδε τοῦ Κοραῆ τὴν "Συμβουλὴν τῶν τριῶν Ἐπισκόπων" καὶ τὸ νεώτατον τοῦ Dœlliger σύγγραμμα "Ὁ Πάπας καὶ ἡ Σύνοδος", σελ. 63 κ. ἑξ. τῆς Ἀγγλ. μεταφρ.

σχίσμα ἀπόλωλε καὶ ἡ βασιλεία καὶ ἡ Ἐκκλησία ἡμῶν. Ἀκούσωμεν λοιπὸν καὶ τοὺς γελοίους αὐτοῦ ὀδυρμούς.

§ 18. "Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος οὐ δύναμαι κατέχειν ἐμαυτόν, ἀλλὰ θερμοῖς δάκρυσι κλαίων καὶ ὀδυρόμενος καταβρέχομαι.[91] Τίς γὰρ οὐ θρηνήσει τὰς ἡμετέρας συμφοράς; Τίς οὐκ ἐπιστενάξει ταῖς ἡμετέραις δυστυχίαις, ἢ μᾶλλον, εἰ μὴ φορτικὸν εἰπεῖν, ταῖς ἡμετέραις ἀνοίαις τε καὶ τιμωρίαις; Οἴχεται τὰ τῆς βασιλείας Γραικῶν. Ἀπόλωλε τὰ τῆς Ἐκκλησίας ἁπλῶς πάντα, διὰ τὸ ἐπιμεῖναι ἡμᾶς πολὺν χρόνον τῷ σχίσματι. Τίς ποιητὴς ἐκτραγῳδήσει ταῦτα; Τίς ῥήτωρ διηγήσεται; Τίς γράμμασι τοῖς ὕστερον τὰ τοιαῦτα καὶ τοσαῦτα πταίσματα καὶ πτώματα ἡμῶν παραδώσει; Διὰ γὰρ τὰς ἁμαρτίας τοῦ λαοῦ πάσχουσιν ἔστιν ὅτε καὶ οἱ προεστῶτες, κἂν θεῖοι ὦσιν ἄνδρες καὶ τὴν πίστιν καὶ τὸν βίον. Ἰδοὺ γὰρ ὁ τῆς Κωνσταντινουπόλεως θεῖος Πατριάρχης, ὁ γρήγορος νοῦς, ὁ ὑπὲρ τῆς τοῦ ποιμνίου σωτηρίας γρηγορῶν, ὁ φερώνυμος καὶ ἱερὸς Γρηγόριος, ὁ μεθ' ἑνὸς μόνου ἐφ' ἡμῶν ὁμολογητής τε καὶ μάρτυς,[92] . . . οὗτος οὖν ὁ

---

[91] Ἐνταῦθα προσήκει μάλιστα ἐπιφωνῆσαι τῷ ὀδυρομένῳ Τραπεζουντίῳ τὸ τοῦ Ἀριστοφάνους ἐκεῖνο, "ὡς σεμνὸς οὑπίτριπτος!"

[92] Οὗτός ἐστιν, ὡς φαίνεται, Γρηγόριος ὁ Πρωτοσύγκελλος, ὃν πρὸ μικροῦ εἴδομεν ἐκλατινισθέντα καὶ ὁμοφρονήσαντα τῷ Βησσαρίωνι καὶ τῷ Ῥωσσίας Ἰσιδώρῳ. Ὠνομάσθη δὲ Πατριάρχης Κωνσταντινουπόλεως ὑπὸ

τοιοῦτος τῆς ἀληθείας ἀθλητής, ὁ στύλος τῆς Ἐκκλησίας, ὁ ἄξιος Κωνσταντινουπόλεως, οὐ τῆς νῦν, ἀλλὰ τῆς πάλαι, πατριάρχης, ᾧ ἡ Κρήτη ἀμέσως ὑπόκειται, γράφει ὑμῖν περὶ τῶν τοιούτων, ἀναθέματι ὑποβάλλων πάντας τοὺς μὴ φυλάττοντας τὸν ὅρον τῆς ἐν Φλωρεντίᾳ θείας, ἁγίας καὶ οἰκουμενικῆς Συνόδου, ἐν ᾗ περὶ τετρακοσίων συναθροισθέντων Πατέρων, περὶ διακόσιοι ἦσαν οἱ Ἀνατολικοί·[98] καὶ πλὴν τριῶν, μᾶλλον δὲ πλὴν ἑνὸς τοῦ Ἐφέσου (οἱ γὰρ λοιποὶ δύο οὐδὲ ὀνόματος ἐγένοντο ἄξιοι), πάντες μιᾷ βουλῇ, μιᾷ γνώμῃ, μιᾷ ψυχῇ ὁμονοήσαντες, ὁμοφωνήσαντες, μᾶλλον δὲ τῷ Εὐαγγελίῳ ἀκολουθήσαντες, ὑπέγραψαν τῷ συντεθέντι παρ' αὐτῶν ὅρῳ, ἐν ᾧ δύο τὰ μέγιστα περιέχεται, ὅτι τε τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεται, καὶ ὅτι πρῶτος τῶν Ἀρχιερέων πάντων ὁ Ῥώμης. κ.τ.λ."

Αὕτη ἐστὶν ἡ περίφημος ἐπιστολὴ Γεωργίου τοῦ Τραπεζουντίου πρὸς τοὺς ἐν Κρήτῃ κληρικοὺς καὶ λαϊκούς, ἡ αὐθαδέστατα διαστρέφουσα καὶ τὸ γράμμα καὶ τὸ πνεῦμα τοῦ θείου Συμβόλου τῆς πίστεως, ὅπως ἐξαπατήσῃ καὶ σαγηνεύσῃ τοὺς ἁπλουστέρους, καὶ

τοῦ Πάπα ψιλῷ τῷ ὀνόματι, ὡς ὠνομάσθη καὶ ὁ Βησσαρίων αὐτός. Ὑπῆρχον λοιπόν, ὡς φαίνεται ἐκ τῶν λόγων τούτων τοῦ Τραπεζουντίου, καὶ τούτου τοῦ Γρηγορίου ἐπιστολαὶ πρὸς τοὺς ἐν Κρήτῃ πιστούς, διδάσκουσαι αὐτοὺς προσκυνεῖν τὸν Πάπαν, καὶ πιστεύειν εἰς μίαν καθολικὴν Ἐκκλησίαν, ἥ τ ι ς ἐ σ τ ὶ ν ἡ ἐ ν Ῥ ώ μ ῃ. Ἄλλος οὗτος θησαυρός!

[98] Βαβαὶ τοῦ πλήθους, ἀλλὰ μὴν καὶ τοῦ ψεύδους!

ποιήσῃ αὐτοὺς προσηλύτους τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, ἣν μόνην παρίστησι μίαν καὶ καθολικὴν καὶ Ἀποστολικήν. Καὶ ὅμως ἐπὶ τοσοῦτον ἡ ἀντίχριστος αὕτη αὐθάδεια ἐπέτυχε τοῦ σκοποῦ, ὥστε οὐ μόνον τοὺς ἁπλουστέρους ἐσαγήνευσεν, ἀλλὰ καὶ αὐτοὺς τοὺς " δήμου μεῖζον φρονοῦντας", καὶ αὐτοὺς τοὺς ποιμένας τῆς Ἐκκλησίας, οἵτινες μέχρι νῦν ἐπιμένουσιν ἀναγινώσκοντες τὸ Σύμβολον τῆς πίστεως κατὰ Γεώργιον τὸν Τραπεζούντιον, αἱρετικοὺς ὀνομάζοντες τοὺς ὀρθῶς ἀναγινώσκοντας αὐτό, καὶ νεωτερισμὸν (οἴμοι) ἀποκαλοῦντες τὴν ὀρθὴν αὐτῶν ἀνάγνωσιν! Ἀκούσωμεν ἤδη καὶ τοῦ σοβαροῦ Καρδιναλίου Βησσαρίωνος, ἕτερον τοῦ Συμβόλου μέρος ἑρμηνεύοντος πᾶσι τοῖς ἐν τῇ Ἀνατολῇ κληρικοῖς καὶ λαϊκοῖς· ἀλλὰ καὶ τούτου τῆς ἐπιστολῆς μακρᾶς οὔσης μικρὸν μέρος παρατίθεμαί σοι χάριν συντομίας. Πόσαι ἆρά γε τοιαῦται καταχθόνιοι ἐπιστολαὶ διεσπάρησαν τότε καὶ ἐφεξῆς πανταχοῦ τῆς Ἀνατολῆς, ἄγνωστοι οὖσαι ἡμῖν! Πόσοι δὲ ἀπόστολοι, ὡς μονιοὶ ἄγριοι ἐκ τῆς Δύσεως εἰς τὴν Ἀνατολὴν εἰσελάσαντες, κατελυμαίνοντο τὸν ἀμπελῶνα τοῦ Κυρίου, κροκοδείλου δάκρυα καταλείβοντες ἐπὶ τὸ νεκρὸν σῶμα τῆς Ἀνατολικῆς αὐτοκρατορίας, καὶ παραμυθίαν προσφέροντες τοῖς δουλεύουσιν ὀρθοδόξοις τὰς ἐπιστολὰς ταύτας τῶν ἐν Ῥώμῃ ἐξωμοτῶν, ὅπως καταστήσωσιν αὐτοὺς δούλους τῆς Παπικῆς αὐλῆς, καὶ οὕτω δουλεύωσι διττὴν δουλείαν, τὴν μὲν

πολιτικὴν ὑπὸ τοὺς κατακτητὰς τῶν σωμάτων, τὴν δὲ θρησκευτικὴν ὑπὸ τοὺς κατακτητὰς τῶν ψυχῶν! Ἀλλ' ἀκούσωμεν τοῦ σοβαροῦ Καρδιναλίου.

Βησσαρίωνος καθολικὴ ἐπιστολή
τοῖς τῷ Πατριαρχικῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ ὅποι δήποτε ὑποκειμένοις Ἀρχιερεῦσιν, ἱερομονάχοις, ἱερεῦσι, μοναχοῖς τε καὶ λαϊκοῖς,[94] κ. τ. λ.

"...Νῦν δὲ καὶ αὐτῆς (οἴμοι) τῆς Κωνσταντινουπόλεως ἁλούσης και ἀπολομένης,[95] ποία ἐστὶν ἢ ἔσται ἡ Ἐκκλησία, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσι; Τίνι ἡ ἐπαγγελία αὕτη φυλαχθήσεται τοῦ Σωτῆρος; Ἐπί-

---

[94] Ἦν (βλέπεις;) ὁ ἄνθρωπος Πατριάρχης Κωνσταντινουπόλεως, καὶ οὗτος ὑπὸ τοῦ Πάπα ἀναγορευθείς, ὡς καὶ μέχρι νῦν ἀναγορεύονται ὑπ' αὐτοῦ Πατριάρχαι καὶ Μητροπολῖται διαφόρων τῆς Ἀνατολῆς Ἐκκλησιῶν, ἐπὶ ψιλῷ τῷ ὀνόματι. Ὡς τοιοῦτος λοιπὸν καὶ ὁ Βησσαρίων διατάσσει τοὺς κατὰ φαντασίαν ὑποκειμένους τῷ θρόνῳ αὐτοῦ, ὡς ἄλλοτε ἐν Πειραιεῖ ὁ μαινόμενος Θράσυλλος ὑπολαμβάνων τὰ εἰσερχόμενα καὶ ἐξερχόμενα πλοῖα ἴδια αὐτοῦ, κατέγραφεν αὐτά, καὶ ἠγάλλετο διὰ τὰ εἰσερχόμενα ὡς περισωθέντα καὶ ἐπανελθόντα ἀβλαβῆ.

[95] Ὀδύρεται καὶ ἡ αὐτοῦ Ἐκλαμπρότης, ὡς καὶ ὁ λογιώτατος γραμματεὺς τοῦ Πάπα, ἐπὶ τῇ ἁλώσει καὶ ἀπωλείᾳ τῆς Κωνσταντινουπόλεως· καὶ οἰκτείρουσα τοὺς ἐν Χριστῷ ἀδελφοὺς αὐτῆς (ἀλλὰ πόῤῥωθεν ἀπὸ τοῦ Καρδιναλικοῦ παλατίου, ἐν ᾧ κατετρύφα), παρακαλεῖ πάντας "τὰ αὐτὰ φρονῆσαι αὐτῷ," καὶ σωτηρίας τυχεῖν "προσκυνοῦντας τὸν Ἀρχιερέα καὶ ποιμένα τῆς Ἐκκλησίας, τὴν κεφαλὴν καὶ ἄρχοντα καὶ ὁδηγὸν καὶ διδάσκαλον τῆς πίστεως."

γνωτε, ἀδελφοί, τὴν τῶν Ἐκκλησιῶν κεφαλήν, τὴν τοῦ Πέτρου καθέδραν. Ἐπίγνωτε τὴν μητέρα τε καὶ διδάσκαλον... Αὕτη ἐστὶν ἐκείνη τῷ ὄντι, ἐφ' ᾗ ὁ Χριστὸς τὴν ἑαυτοῦ ᾠκοδόμησεν Ἐκκλησίαν. Αὕτη ἐστὶν ἡ τὴν τοῦ Πέτρου πίστιν κατέχουσά τε καὶ συνέχουσα, καὶ τοῖς ἄλλοις κηρύττουσα. Οἱ ταύτῃ ἑπόμενοι μίαν μετ' αὐτῆς Ἐκκλησίαν ποιοῦσιν. Οἱ ταύτης ἀπεσχισμένοι, καὶ τῆς μετ' αὐτῆς ἑνότητος διεῤῥηγμένοι, σωτηρίας τυχεῖν οὐκ ἂν δύναιντο· ἔξω γὰρ τῆς αὐλῆς τοῦ Χριστοῦ σωτηρία οὐκ ἔστι"....

"Ἀλλὰ μέγα ἡμῖν (φατέ) σκάνδαλον ἡ παρὰ Λατίνων ἐν τῷ θείῳ Συμβόλῳ γενομένη προσθήκη. Εἰ ὀρθῶς σκοπεῖν ἐθέλοιτε, ἀδελφοί, οὐ προσθήκη, ἀλλὰ ἀνάπτυξίς τε καὶ ἐπεξήγησίς ἐστι τὸ λεγόμενον· προσθήκη γάρ ἐστι καὶ κατ' αὐτοὺς τοὺς ἡμετέρους διδασκάλους ἡ τῶν ἐναντίων δογμάτων διδασκαλία· ἡ δὲ τῶν αὐτῶν τε καὶ ὁμοίων διασάφησις ἀνάπτυξίς ἐστι καὶ οὐ προσθήκη... Πολλὰ προσέθηκεν ἡ δευτέρα Σύνοδος τῷ τῆς ἐν Νικαίᾳ Συνόδου Συμβόλῳ· περὶ γὰρ τῆς τοῦ ἁγίου Πνεύματος θεότητος, περὶ τῆς τῆς Ἐκκλησίας ἑνότητος, περὶ βαπτίσματος, περὶ ἁμαρτιῶν ἀφέσεως, περὶ νεκρῶν ἀναστάσεως, περὶ ζωῆς αἰωνίου.[96] Πολλά τε καὶ ἄλλα εἴρηκεν, ὧν περὶ οὐδενὸς

[96] Ἐνταῦθα παρατηρητέον καλῶς, ὅτι ὁ Βησσαρίων οὐ τολμᾷ εἰπεῖν, ὡς ὁ Τραπεζούντιος λέγει, ὅτι τὸ Σύμβολον τῆς πίστεως διδάσκει ἡμᾶς πιστεύειν εἰς μίαν καθολικὴν Ἐκκλησίαν, οὐδ' ὅτι τοιαύτην διδασκαλίαν

ἡ πρώτη Σύνοδος ἀνεπτυγμένον πεποίηται λόγον. Πολλὰ οἱ μετὰ ταῦτα Πατέρες τὴν πίστιν ἐπεξεργαζόμενοι πλατύτερον ἐδίδαξαν· καὶ ὅμως οὐ προσθήκη, ἀλλὰ ἀνάπτυξις γέγονε.[97] Διὰ τί οὖν μὴ καὶ τῇ καθο-

---

προσέθηκαν ἐν τῷ Συμβόλῳ οἱ τῆς Β′ οἰκουμενικῆς Συνόδου Πατέρες· ἀλλὰ διαῤῥήδην λέγει, ὅτι μόνον προσέθηκαν περὶ τῆς ἑνότητος τῆς Ἐκκλησίας. Δῆλον οὖν ἐντεῦθεν, ὅτι οἱ τῶν ἡμετέρων ἐννοοῦντες πρὸ τοῦ Θ′ ἄρθρου τὸ ῥῆμα "πιστεύω", καὶ ἑπόμενοι τῇ διδασκαλίᾳ τοῦ Τραπεζουντίου καὶ τοῦ Fleury, καὶ αὐτοῦ τοῦ Καρδιναλίου Βησσαρίωνος φαίνονται Παπικώτεροι. Ἐκεῖνος μὲν γὰρ καὶ δεδουλωμένος ὑπὸ τὸν Πάπαν οὐκ ἐτόλμησεν εἰπεῖν, ὅτι τὸ Σύμβολον διδάσκει ἡμᾶς πιστεύειν εἰς μίαν καθολικὴν Ἐκκλησίαν· οὗτοι δὲ ἐν πληρεστάτῃ ἐλευθερίᾳ διατελοῦντες ὁμολογοῦσιν, ὡς ὁ Τραπεζούντιος, πίστιν εἰς τὴν Ἐκκλησίαν· αἶσχος!

[97] Τοῦτό ἐστι ψεῦδος ἀναιδέστατον, ὃ δὴ καὶ ἐν τῇ Φλωρεντινῇ Συνόδῳ ὁ Καρδινάλιος Ἰουλιανὸς ἀντέταξε τοῖς λόγοις τοῦ θαυμασίου Μάρκου τοῦ Ἐφέσου. Ἀλλ' ὁ δεινὸς ἐκεῖνος θεολόγος καὶ ῥήτωρ δι' ἀναντιῤῥήτων λόγων, οὓς ἐν τοῖς ἔμπροσθεν παρέθηκά σοι, πάσας τὰς τοῦ Καρδιναλίου φλυαρίας διεσκαριφήσατο. Συνέγραψε δὲ καὶ μετὰ τὴν εἰς τὴν Ἀνατολὴν ἐπάνοδον αὐτοῦ ὁ σοφὸς Ἀρχιερεὺς τοῦ Θεοῦ καὶ ἴδιον περὶ τούτου Διάλογον, ἐπιγραφόμενον "Λατῖνος, ἢ περὶ τῆς ἐν τῷ Συμβόλῳ προσθήκης", ἐν ᾧ διὰ τῶν αὐτῶν ἰσχυρῶν λόγων ἀποδείκνυσιν, ὅτι μετὰ τὴν ὑπὸ τῆς Β′ Συνόδου γενομένην συμπλήρωσιν τοῦ Συμβόλου οὐδεὶς οὐδέποτ' ἐτόλμησε παραβῆναι τὸν ὑπὸ τῆς Γ′ γενόμενον ὅρον "μηδενὶ ἐξεῖναι ἑτέραν πίστιν συγγράφειν ἢ συντιθέναι·" εἰ δέ τις ἐτόλμησε τοῦτο ποιῆσαι, ἀπεκηρύχθη ὡς αἱρετικός, ὃ δὴ καὶ ἐπῆλθε τῇ ἐν Ῥώμῃ Ἐκκλησίᾳ, ὅτε τὴν προσθήκην "καὶ ἐκ τοῦ Υἱοῦ" ἐτόλμησεν ἀποδέξασθαι ἐν τῷ Συμβόλῳ. Ἔκτοτε ἀπεσχίσθη τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας· καὶ πάλιν ἐφεξῆς διασχισθεῖσα, καὶ νῦν ἔτι διὰ τὴν ἀκόρεστον ἀλαζονείαν αὐτῆς ἕτερον κινήσασα σκάνδαλον καὶ σχίσμα, "εἰς ὄρη καὶ εἰς ἐρημίας ἀποπλανᾶται, καὶ βάραθρα καὶ τόπους οἰκεῖ, οἷς οὐκ ἐπισκοπεῖ Κύριος," ὡς εἶπε περὶ τῶν μὴ πιστευόντων εἰς αὐτὴν ὁ μαθητὴς αὐτῆς Γεώργιος ὁ Τραπεζούντιος.

λικῇ Ἐκκλησίᾳ ταὐτὸ τοῦτο ποιῆσαι ἐξεγένετο, ὁμοίας αἱρετικῶν ἐπιστάσης ἀνάγκης";

"Ὅτι, φησί, τότε μὲν ἐξῆν, μετέπειτα δὲ τῆς τρίτης Συνόδου πρώτης πᾶσαν κωλυσάσης προσθήκην, οὐκ ἔξεστιν οὐδενὶ προσθεῖναι, οὐδ' αὐτὴν τὴν ἀλήθειαν".

"Ἀλλὰ ψευδὴς οὗτος ὁ λόγος, ἀδελφοί, καὶ τῷ ὄντι μωρός τε καὶ μάταιος.[98]....Ἀλλὰ ταπεινώσαντες ἑαυτοὺς τῷ Θεῷ, καὶ τοσούτοις ἀνδράσι σοφωτάτοις τε καὶ εὐλαβεστάτοις, οὓς ἡ Ῥωμαϊκὴ Ἐκκλησία τρέφει, ἑπόμενοι, τήν τε διδασκαλίαν καὶ πίστιν ἐκείνης ὑποδέξασθε, τόν τε Ἀρχιερέα καὶ ποιμένα αὐτῆς τῆς

---

[98] Ψεύστης καὶ μωρὸς καὶ μάταιός ἐστιν ὁ λέγων, ὅτι ἐγένετο προσθήκη τις ἐν τῷ Συμβόλῳ μετὰ τὴν ἐν Κωνσταντινουπόλει Β' οἰκουμεν. Σύνοδον, ἐν ᾗ κατηρτίσθη οἷον μέχρι νῦν ἀναγινώσκεται ἀμετάβλητον καὶ ἀμεταποίητον· ἐκτὸς μόνον ἐὰν ὁ ταῦτα λέγων ἐννοῇ τὰς ὑπὸ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας γενομένας ἐν αὐτῷ προσθήκας καὶ παρερμηνείας. Ἀλλ' ἐὰν τοῦτο λέγῃ, οὐ μόνον τὸ Σύμβολον τῆς πίστεως, ἀλλὰ καὶ πάντα τὰ μυστήρια καὶ πάσας τὰς Ἐκκλησιαστικὰς διατάξεις δύναται παραστῆσαι νενοθευμένας καὶ παραπεποιημένας ὑπὸ τῆς καινοτόμου ἐκείνης Ἐκκλησίας, καὶ τὸ βάπτισμα, καὶ τὴν θείαν κοινωνίαν, καὶ τὴν ἐξομολόγησιν, καὶ τὴν ἱερωσύνην, καὶ τὸν γάμον, καὶ πάντα ἐν ἑνὶ λόγῳ μεταπεποιημένα, καὶ τοσοῦτον τῆς Εὐαγγελικῆς καὶ Ἀποστολικῆς διδασκαλίας ἀπέχοντα, "ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης." Τὰς καινοτομίας ταύτας τῆς Ῥωμαϊκῆς Ἐκκλησίας καὶ ἄλλοι τῶν ἡμετέρων κατὰ καιροὺς ἐστηλίτευσαν, πάντων δὲ μάλιστα ὁ πολυμαθέστατος καὶ Σεβασμιώτατος Μητροπολίτης Χίου, Γρηγόριος ὁ Βυζάντιος, ἐν ὅλῳ τῷ πέμπτῳ κεφαλαίῳ τῆς θαυμαστῆς αὐτοῦ πραγματείας, ἣ λίαν προσηκόντως ἐπιγέγραπται "Ἡ φωνὴ τῆς Ὀρθοδοξίας", καὶ οὐ μόνον ὑπὸ τῶν ἡμετέρων, ἀλλὰ καὶ ὑπὸ τῶν ἑτεροδόξων αὐτῶν ἐπαινεῖται διά τε τὴν ἱστορικὴν ἀκρίβειαν καὶ τὴν κεχαριτωμένην φράσιν τοῦ πολυσεβάστου συγγραφέως καὶ διαπρεποῦς Ἀρχιερέως.

Ἐκκλησίας κεφαλήν τε καὶ ἄρχοντα καὶ τῆς πίστεως ὁδηγόν τε καί διδάσκαλον ἡγησάμενοι, σέβεσθέ τε αὐτόν, καὶ ἡγουμένῳ τὴν πρὸς ζωὴν αἰώνιον φέρουσαν ἕπεσθε... Οὐκ· ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω, εἷς βασιλεύς". [99]

"Ἐδόθη ἐν Οὐϊτερβίῳ πρὸ ἓξ Καλανδῶν Ἰουνίων ἔτει ἀπὸ Χριστοῦ ͵αυξγ΄ (1463) κ. τ. λ.

Βησαρίων, ἐλέῳ Θεοῦ Καρδινάλις καὶ Οἰκουμενικὸς Πατριάρχης Κωνσταντινουπόλεως, Νέας Ῥώμης, οἰκείᾳ χειρὶ ὑπέγραψα."—

Οἱ τελευταῖοι λόγοι τοῦ Ἐκλαμπροτάτου Καρδιναλίου κατ' οὐδὲν τῇ ἀληθείᾳ παραλλάσσουσι τοῦ γελοίου κηρύγματος, δι' οὗ ἡ τετράπηχυς ἐκείνη γυνὴ ἐξηπάτησε τοὺς Ἀθηναίους ἀποδέξασθαι τὸν Πεισίστρατον, ὡς δῆθεν ὑπὸ τῆς Ἀθηνᾶς εἰς αὐτοὺς ἀποστελλόμενον· "Ὦ Ἀθηναῖοι, δέκεσθε ἀγαθῷ νόῳ « Πεισίστρατον, τὸν αὐτὴ ἡ Ἀθηναίη τιμήσασα ἀνθρώ« πων μάλιστα κατάγει εἰς τὴν ἑαυτῆς ἀκρόπολιν." [1] Ὁ πατὴρ τῆς ἱστορίας θαυμάζει ἐν τῷ ἱστορεῖν τὸ μηχάνημα τοῦτο τοῦ Πεισιστράτου, ὅτι οἱ Ἀθηναῖοι, οἱ πάντων τῶν Ἑλλήνων πρωτεύοντες τὴν σοφίαν,

---

[99] Ὦ τῆς ἀσεβοῦς βεβηλώσεως τοῦ Ὁμηρικοῦ ἔπους!

[1] Ἡροδότου Α', 60.

ἐξηπατήθησαν διὰ τοῦ εὐηθεστάτου ἐκείνου μηχανήματος, καὶ ἀπεδέξαντο τὸν πρότερον ὑπ' αὐτῶν διωχθέντα Πεισίστρατον, ὡς δῆθεν ὑπὸ τῆς Ἀθηνᾶς αὐτῆς εἰς τὸ ἄστυ καταγόμενον· καὶ ἀληθῶς ὁ τοῦ πατρὸς τῆς ἱστορίας θαυμασμὸς λίαν ἐστὶν εὔλογος. Ἀλλὰ πολλῷ μᾶλλόν ἐστι θαυμαστὸν ἐν τῷ προκειμένῳ τοῦ Καρδιναλίου κηρύγματι, ὅτι ἄνθρωποι δεδουλωμένοι, καὶ μυρία πάσχοντες ὑπὸ τὸν Ὀθωμανικὸν ζυγὸν δεινά, οὐχὶ δὲ πάντως ἐπὶ σοφίᾳ θαυμαστοί, ὅσον οἱ πάλαι Ἀθηναῖοι, πανταχοῦ τῆς Ἀνατολῆς κατενόησαν τὸ δόλιον τοῦ κηρύγματος, καὶ οὐ μόνον τότε, ἀλλὰ καὶ εἰς τοὺς μετέπειτα χρόνους, ἀπέκλεισαν τὰ ὦτα αὐτῶν κατὰ τῆς ἀντιχρίστου ἐκείνης διδασκαλίας.

Ἄλλοι διδάσκαλοι, ἄξιοι διάδοχοι τοῦ Τραπεζουντίου καὶ τοῦ Βησσαρίωνος.

Μετὰ τοὺς εἰρημένους δύο ἐξωμότας καὶ ἄλλοι τινὲς τοιοῦτοι τὰ αὐτὰ τῇ γειναμένῃ καὶ θρεψάσῃ ἀνταπέδωκαν αἰσχρὰ τροφεῖα, ζωγρηθέντες οἱ κακοδαίμονες ἐν τῇ μεγάλῃ προσηλυτικῇ σαγήνῃ, ἣν διήπλωσε τότε πανταχοῦ τῆς Ἰταλίας καὶ τῆς Ἀνατολῆς ἡ πολυμήχανος Ῥώμη. Παιδείαν πάντοτε διψῶντες οἱ ταλαίπωροι Ἕλληνες, καὶ οὐ δυνάμενοι ἐκπαιδεύεσθαι ἐν τῇ Ἀνατολῇ, κατέφευγον εἰς τὴν Ἰταλίαν, καὶ μάλιστα εἰς τὴν Ῥώμην, ἔνθα πρὸς ἄγρευσιν τῶν προσερχομένων ἰχθύων οἱ πονηροὶ ἁλιεῖς εὐδαίδαλον διήπλωσαν δίκτυον, συστήσαντες τὸ καλούμενον Ἐκκλησιαστικὸν Ἐκπαιδευτήριον τοῦ ἁγίου Ἀθανασίου, ἐν ᾧ οἱ ἐκπαιδευόμενοι Ἕλληνες ὤφειλον ἀποδέχεσθαι ἐνόρ-

χως τὴν ὁμολογίαν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας. "Ἀπὸ
« τούτου τοῦ Κολλεγίου τοῦ Ῥωμαϊκοῦ ἁγίου Ἀθανα-
« σίου (λέγει ὁ ἀοίδιμος Κ. Οἰκονόμος ἐν τῇ 'περὶ τῶν
« τριῶν ἱερατικῶν τῆς Ἐκκλησίας βαθμῶν' σοφωτάτῃ
« αὐτοῦ Διατριβῇ), ὡς ἀπὸ Δουρείου ἵππου, ἐξεῤῥύησαν
« κατὰ τὴν 16ην καὶ 17ην ἑκατονταετηρίδα οἱ Ἀλλάτιοι
« καὶ Ἀρκούδιοι καὶ Καρυόφυλλοι καὶ Παππαδόπουλοι
« καὶ Τυπάλδαι καὶ Πατοῦσαι, καὶ ὅσοι ἄλλοι τοιοῦτοι
« Ἁγιαθανασῖται ἐπαφέθησαν ἀπολυθέντες κατὰ
« τῆς ἰδίας αὐτῶν μητρός, τῆς Ἀνατολικῆς Ἐκκλη-
« σίας".[1] Πάντες οὗτοι οἱ ἄξιοι διάδοχοι τοῦ Καρδι-
ναλίου Βησσαρίωνος καὶ τοῦ λογιωτάτου γραμματέως
τοῦ Πάπα Νικολάου Ε', Γεωργίου τοῦ Τραπεζουντίου,
διά τε συγγραμμάτων καὶ διὰ προφορικῆς διδασκαλίας
ἐπεμελοῦντο ὑποτάξαι τὴν Ἀνατολικὴν Ἐκκλησίαν ὑπὸ
τοὺς πόδας τοῦ Πάπα, ἐν ᾧ συγχρόνως οἱ πανταχοῦ
τῆς Ἀνατολῆς διεσπαρμένοι Καπουσῖνοι καὶ Ἰη-
σουῗται διά τε σχολείων, ἃ συνέστησαν καὶ ἐν αὐτῇ τῇ
Κωνσταντινουπόλει καὶ ἐν Κύπρῳ καὶ ἐν Κρήτῃ καὶ ἐν
ἄλλαις πόλεσι τῆς Ἀνατολῆς, καὶ διὰ παντοίων βι-
βλίων, ἃ διένειμον δωρεάν, καὶ διὰ πολλῶν ἄλλων δε-
λεασμάτων κατελυμαίνοντο καὶ συνετάραττον τοὺς ἐν
τῇ Ἀνατολῇ ὀρθοδόξους· τῆς δὲ διδασκαλίας αὐτῶν
σπουδαιότατον μέρος ἦν τὸ κατηχητικόν, ἐν ᾧ ἡρμη-

[1] Τὰ περὶ τῶν ἐξωμοτῶν τούτων ἔχει τις ἰδεῖν προσηκόντως ἱστορούμενα ἐν τῇ τοῦ Κυρίου Κ. Σάθα "Νεοελληνικῇ Φιλολογίᾳ."

νευον καὶ τὸ Σύμβολον τῆς πίστεως ὃν τρόπον εἴδομεν καὶ τὸν Γεώργιον Τραπεζούντιον ἑρμηνεύοντα αὐτό, καὶ ὡς ἐφεξῆς μέχρι νῦν διατελοῦσιν ἑρμηνεύοντες αὐτό. Εἴδομεν ἀνωτέρω (σελ. 73) τὴν δολίαν τοῦ Συμβόλου μετάφρασιν τοῦ Fleury λέγουσαν· "Nous croyons en une *seule* Église sainte, Catholique et Apostolique." Ἄπειροι δὲ μετ' ἐκείνου καὶ μετ' ἐκεῖνον διέδωκαν καὶ διατελοῦσι διαδιδόντες τὴν Σατανικὴν ταύτην ἑρμηνείαν τοῦ Συμβόλου, ἐν οἷς καὶ ὁ φερώνυμος μ ά σ τ ο ρ η ς Ἰωσὴφ ὁ Δε-Μαῖστρος ἐν τῷ γνωστοτάτῳ αὐτοῦ συγγράμματι, τῷ ἐπιγραφομένῳ Du Pape. Εὐθὺς ἐν ἀρχῇ τοῦ συγγράμματος, ἤ, ὀρθότερον εἰπεῖν, συῤῥάμματος τούτου (διότι οὐδὲν ἄλλο ἐστὶν ἡ συῤῥαφὴ παρερμηνειῶν καὶ παριστορήσεων ἀλλοκότων) ἐλέγχων τῆς Ἐκκλησίας τῶν Διαμαρτυρομένων τὸ δημοκρατικὸν πνεῦμα καὶ πολίτευμα, λέγει ὁ σοφὸς ἱστορικὸς τάδε· "Mais il n'y a point et il ne peut y avoir d'*Eglise chrétienne republicaine;* en sorte que la forme presbyterienne efface l'article du Symbole, que les ministres de cette croyance sont cependant obligés de prononcer, au moins tous les dimanches : *Je crois à l'Eglise, une, sainte,* UNIVERSELLE *et Apostolique.* Ἐφεξῆς δὲ (σελ. 22) λέγει· "Essayez de diviser le monde chrétien en patriarcats, comme le veulent les Eglises schismatiques d'Orient, chaque patriarche, dans cette sup-

position, aura les priviléges que nous attribuons ici au Pape, et l'on ne pourra de même appeler de leurs décisions; car il faut toujours qu'il y ait un point où l'on s'arrête. La souveraineté sera divisée, mais toujours on la retrouvera; il faudra seulement changer le symbole et dire: *Je crois aux Eglises divisées et indépendantes.*" Ἐν ἄλλαις λέξεσιν ὁ καλὸς Δε-Μαΐστρος λέγει· "ὁμολογεῖς, ὅτι πιστεύεις εἰς μίαν καθολικὴν Ἐκκλησίαν; αὕτη οὐ δύναται εἶναι ἄλλη ἢ ἡ ἐν Ῥώμῃ, καὶ ταύτην ὀφείλεις προσκυνεῖν, κύπτων τὸν αὐχένα ὑπὸ τὸν Ἐπίσκοπον αὐτῆς, τὸν ἄκρον Ἀρχιερέα. Οὐχ ὑποτάσσῃ τῷ Πάπᾳ; ἀθετεῖς λοιπὸν τὸ Σύμβολον τῆς πίστεως, ἐν ᾧ ὁμολογεῖς, ὅτι πιστεύεις εἰς μίαν καθολικὴν Ἐκκλησίαν." Ὅθεν ἐφεξῆς (σελ. 397) ὅλως ἔνθους ἐπιφωνεῖ, ὅτι ἄνευ τοῦ Πάπα χριστιανισμὸς ἀληθινὸς οὐχ ὑφίσταται. "Sans le Pape, il n'y a point de véritable christianisme·" καὶ ἐν σελίδι 427 εἰς τὸ πολλάκις ὑπ' αὐτοῦ παρεμβαλλόμενον Ἀχίλλειον ἐπιχείρημα (ὅπερ ἐστὶ τὸ πιστεύειν εἰς τὴν καθολικὴν Ἐκκλησίαν κατὰ τὴν ὁμολογίαν τῆς πίστεως) ἐπανερχόμενος λέγει μετὰ πολλοῦ τοῦ στόμφου τάδε· "C'est une chose bien remarquable, que tout chrétien étant obligé de confesser dans le symbole, *qu'il croit à l'Eglise catholique*, néanmoins aucune Eglise dissidente n'a jamais osé se parer de ce titre et se nommer *catholique*, quoiqu'il

n'y eût rien de si aisé qne de dire: *C'est nous qui sommes catholiques ;* et que la vérité d'ailleurs tienne évidemment à cette qualité de catholique," etc. Καθαρῶς λοιπὸν ὁ ἄνθρωπος λέγει· "ἐξ ἀνάγκης ὀφείλεις ὁμολογεῖν ἐν τῷ Συμβόλῳ, ὅ τ ι π ι σ τ ε ύ ε ι ς ε ἰ ς τ ὴ ν κ α θ ο λ ι κ ὴ ν 'Ε κ κ λ η σ ί α ν· τὴν δὲ ἐπίζηλον ταύτην ἐπωνυμίαν οὐδεμία ἄλλη τῶν 'Εκκλησίων ἐτόλμησεν ἀναλαβεῖν, ἡ μόνη ἡ ἐν Ρώμῃ. Προσκύνει λοιπὸν ταύτην, ἐν ᾗ μόνῃ ὑπάρχει ἡ ἐπωνυμία κ α θ ο λ ι κ ή."[3] Καὶ τέλος πάντων ἐν σελίδι 455 καταφθάνει ὁ ἄνθρωπος εἰς τὸ καταδικαστικὸν μέρος τῆς ἀποφάσεως αὐτοῦ, ἐν ᾧ κηρύττει πάσας τὰς μὴ ὑποτασσομένας τῷ Πάπᾳ 'Εκκλησίας ἀφ' ἑαυτῶν καθ' ἑκάστην ἡμέραν καταδικαζομένας, ὅταν ἀπαγγέλλωσι τὸ μέρος τοῦ Συμβόλου, ἐν ᾧ ὁμολογοῦσιν, ὅτι π ι σ τ ε ύ ο υ σ ι ν ε ἰ ς τ ὴ ν μ ί α ν κ α ὶ κ α θ ο λ ι κ ὴ ν 'Ε κ κ λ η σ ί α ν. 'Ιδοὺ αὗται αὐτοῦ αἱ λέξεις· "Toutes ces Eglises séparées se condamnent chaque jour en disant: *Je crois à l'Eglise une et universelle.* Car il faut absolument qu'à cette profession *de droit*, elles

---

[3] Βλεπέτωσαν ταῦτα πρὸς Θεοῦ οἱ ἐξαναγκάζοντες ἡμᾶς ἐν πάσῃ αὐτῶν τῇ 'Αρχιερατικῇ ἐπισημότητι ὁμολογεῖν ἐν τῷ Συμβόλῳ τῆς πίστεως, ὅτι πιστεύομεν εἰς τὴν καθολικὴν 'Εκκλησίαν, συνῳδὰ μὲν τῇ τῶν 'Ιησουϊτῶν διδασκαλίᾳ, ἐναντίον δὲ τῆς ὀρθοδόξου ἐκείνης, ἣν παρελάβομεν παρὰ τῶν μεγίστων τῆς ἡμετέρας 'Εκκλησίας Πατέρων. Οἵαν ἀναλαμβάνουσιν εὐθύνην ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων οἱ τῆς τοιαύτης διδασκαλίας εἰσηγηταὶ καὶ προστάται!

en substituent une autre *de fait* qui dit: *Je crois* AUX *Eglises* UNE *et* UNIVERSELLE. C'est le solécisme le plus revoltant dont l'oreille humaine ait jamais été affligée."

Οὗτοι λοιπὸν καὶ ἄλλοι τούτοις ὅμοιοί εἰσιν οἱ βαρεῖς λύκοι, οἱ ἄγριοι μονιοί, οἱ αὐθαδῶς εἰσελάσαντες εἰς τὸν ἀμπελῶνα τοῦ Κυρίου, καὶ πολυειδῶς καὶ πολυτρόπως καταλυμηνάμενοι αὐτὸν μετὰ τὴν φρικτὴν καὶ ἀπαίσιον ὑποδούλωσιν τῶν ὀρθοδόξων Χριστιανῶν τῆς Ἀνατολῆς ὑπὸ τοὺς Τούρκους, καὶ δολίως παρατρέψαντες τὴν ὀρθόδοξον ἑρμηνείαν τοῦ Συμβόλου, ἣν παρὰ πασῶν τῶν Συνόδων καὶ πάντων τῶν ὀρθοδόξων Πατέρων τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας παρελάβομεν. Ἡμεῖς δὲ ἐξ ἀσυγγνώστου ἀκηδίας κατεπίομεν, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ἐν μέλιτι προσενεχθὲν τὸ δηλητήριον· ὃ δὲ πάντων ἀτοπώτατον καὶ οὐδεμιᾶς ἄξιον συγγνώμης, ὅτι καὶ νῦν ἔτι διατελοῦμεν τῆς μὲν κακοδόξου ταύτης διδασκαλίας ἀντεχόμενοι, τὴν δὲ ὑπὸ τῶν Πατέρων τῆς Ἐκκλησίας παραδοθεῖσαν ἡμῖν ὀρθόδοξον ἐκείνην ἑρμηνείαν καταφρονοῦντες καὶ ἐκσυρίττοντες! Ἀλλὰ τὴν ἀκηδίαν ἡμῶν ταύτην οὐκ εἶχον οἱ κατὰ τοὺς χρόνους τῶν διωγμῶν καὶ ἐπιβουλῶν ἀκμάσαντες Ἀρχιερεῖς καὶ ἄλλοι κληρικοί, οἱ τὴν ἡμετέραν διέποντες Ἐκκλησίαν, καὶ δίκην Ἄργου ἐπισκοποῦντες τὸ ἐμπεπιστευμένον αὐτοῖς ποίμνιον. Οἱ ἀοίδιμοι ἐκεῖνοι

ποιμένες καὶ ταύτην πρὸς τοῖς ἄλλοις ἀπέκρουον τὴν κακόδοξον διδασκαλίαν, ὡς μαρτυρεῖται ἔκ τινος παραινετικοῦ λόγου τοῦ πρὸ δύο ἑκατονταετηρίδων πατριαρχεύσαντος ἐν Ἱεροσολύμοις Δοσιθέου, ἐν ᾧ πρὸς τοῖς ἄλλοις παραινεῖ τὸ ποίμνιον αὐτοῦ προφυλάττεσθαι ἀπὸ τῆς πονηρᾶς ταύτης διδασκαλίας, καί, ὅταν λέγωσιν αὐτοῖς, ὅτι ἡ ἐν τῷ Συμβόλῳ λεγομένη μία καθολικὴ Ἐκκλησία ἐστὶν ἡ τῆς Ῥώμης, εὐθαρσῶς ἀποκρίνεσθαι, ὅτι μία καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία ἐστὶν ἡ τοῦ Ἰησοῦ Χριστοῦ, ἡ ὑπ' αὐτοῦ καὶ τῶν Ἀποστόλων αὐτοῦ συστᾶσα καὶ καθ' ὅλην τὴν οἰκουμένην ἐξαπλωθεῖσα.[1] Καὶ πάντες δὲ οἱ ἐν τῇ Ἀνατολῇ Πατριάρχαι καὶ Ἐπίσκοποι καὶ λοιποὶ κληρικοὶ ἐπιμελῶς ἀντέκρουον τὴν

---

[1] Καὶ ὅμως ἐν τῇ Ὁμολογίᾳ τῆς πίστεως τοῦ ἀοιδίμου τούτου Πατριάρχου, ἧς ἐν τοῖς ἔμπροσθεν (σελ. 19—20) ἐμνήσθην, βέβηλος χεὶρ παρενέβαλε μετὰ τὴν λέξιν "Ἐκκλησίαν" τὸ "εἰς ἣν καὶ πιστεύειν δεδιδάγμεθα". Ἀλλὰ καὶ ἄλλο τι τούτου δεῖγμα οὐκ εὐκαταφρόνητον ἔλαβον πρό τινων ἡμερῶν ἐξ ἐπιστολῆς σπουδαίου φίλου μου, πρὸς ὃν ἀπέστειλα δῶρον φιλικὸν τὴν Ἱστορίαν τῆς Ἑλληνικῆς Φιλολογίας. Εὐχαριστῶν μοι ὁ καλὸς φίλος ἐπὶ τῷ δώρῳ, ἔγραφέ μοι πρὸς τοῖς ἄλλοις καὶ τάδε. "Πρῶτον ἤδη « μανθάνω ἐκ τοῦ ἐν τῇ Ἱστορίᾳ προλόγου σου, ὅτι περιῆλθες εἰς ἔριδας « πρὸς τὸν ἅγιον Σύρου περὶ τῆς ἑρμηνείας τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου, « ἐπιμένων, ὅτι δὲν πρέπει ν' ἀναγινώσκηται μετὰ τελείας στιγμῆς ἐν τῇ « λέξει "προφητῶν". Βεβαίως ἐγὼ δὲν εἶμαι ἁρμόδιος νὰ γνωμοδοτήσω « περὶ τούτου· πολλάκις ὅμως ἤκουσα τοῦ μακαρίτου πατρός μου λέγοντος, « ὅτι τὴν τελείαν αὐτὴν ἔβαλον εἰς τὸ Σύμβολον οἱ ἐν Βενετίᾳ ἐκδόται τῶν « Ἐκκλησιαστικῶν μας βιβλίων διὰ τὰ τέλη των." Λυποῦμαι, ὅτι φοβούμενος μὴ προσκρούσω τῷ ἀξιοτίμῳ φίλῳ μου οὐ δύναμαι ὀνομάσαι αὐτόν· διότι, εἰ καὶ λέγει μετριοφρονῶν, ὅτι οὐκ ἔστιν ἁρμόδιος γνώμην περὶ τού-

κίβδηλον ταύτην τοῦ Συμβόλου ἑρμηνείαν, ὡς καὶ πάσας τὰς ἄλλας ἐπιβούλους διδασκαλίας τῶν ἀπείρων καὶ παντοειδῶν ἀποστόλων, οὓς ἡ Ῥώμη ἔκτοτε μέχρι νῦν ἐξαποστέλλει εἰς τὴν Ἀνατολήν, ἔξωθεν μὲν ὡς πρόβατα παρισταμένους, ἔσωθεν δὲ ὄντας λύκους βαρεῖς. Ὁπόσης ἐσμὲν ὀφειλέται εὐγνωμοσύνης καὶ τιμῆς εἰς τοὺς καλοὺς ἐκείνους ποιμένας, οἵτινες, ἑκατέρωθεν τοῦ ποιμνίου ἐπιβουλευομένου καὶ κατατρυχομένου, ἔνθεν μὲν ἐπάλαιον κατὰ τῆς πολιτικῆς τυραννίας, παντὶ σθένει προστατοῦντες τῶν Χριστιανῶν, ἔνθεν δὲ ἀπέκρουον τοὺς ἐπιβούλους τῆς Δύσεως ἀποστόλους, καὶ οὕτως ἀγρυπνοῦντες κατώρθωσαν διατηρῆσαι ἀλώβητον τὴν ἡμετέραν Ἐκκλησίαν ἀπὸ τῆς διττῆς ἐκείνης καταδρομῆς καὶ ἐπιβουλῆς. Ἐκτὸς ἀπείρων ἄλλων καὶ λίαν γνωστῶν παραδειγμάτων, οἱ διωγμοὶ καὶ ὁ θάνατος τοῦ περιφήμου πατριάρχου Κυρίλλου τοῦ Λουκάρεως αἰώνιον μὲν διαμενοῦσιν αἶσχος τοῖς ἀπανθρώπως διώξασι καὶ θανατώσασιν αὐτὸν Ἰησουίταις, αἰώνιον δὲ μαρτύριον τῆς εἰς τὴν ὀρθοδοξίαν σταθερότητος τῶν ἐν τῇ Ἀνατολῇ λαῶν καὶ τῆς ἀγρύπτου ἐπιτηρήσεως τῶν μακαρίων ἐκείνων ποιμέ-

---

του ἀποφήνασθαι, ἀναντιῤῥήτως καὶ αὐτοῦ καὶ τοῦ μακαρίτου πατρὸς αὐτοῦ τὸ ὄνομα οὐ μικρὸν ἔχουσι κῦρος ἐν τοῖς τοιούτοις. Λέγω δὲ μόνον, ὅτι ὁ πατὴρ τοῦ γέροντος φίλου μου ἀνῆκεν εἰς τὴν ἀμέσως παρελθοῦσαν ἑκατονταετηρίδα· καὶ ἐντεῦθεν πορίζομαι τὸ συμπέρασμα, ὅτι ἀείποτε ὑπῆρχον ἐν τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ οἱ νομίζοντες, ὅτι ἡ τελεία ἐκείνη στιγμὴ οὐκ ἔῤῥωται, καὶ ὅτι ἐπιβούλως ἐτέθη πρὸς διαστροφὴν τῆς ἀληθοῦς ἑρμηνείας τοῦ Συμβόλου.

νων τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, τῶν οὐ λόγῳ μόνῳ κηρυττόντων, ἀλλὰ καὶ ἔργῳ πληρωσάντων τὴν τοῦ Ἀρχιποίμενος ἐντολήν—"Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων".—

Οἱ ἐν καλῇ τῇ πίστει ἐξαπατηθέντες.

Οὕτως ὑπὸ τὴν θείαν ἀντίληψιν καὶ τὴν θαυμαστὴν καρτερίαν τῶν ποιμένων αὐτῆς ἡ Ἀνατολικὴ Ἐκκλησία καὶ τὰς τελευταίας ταύτας τῆς Ῥώμης ἐπιβουλὰς ἀπέκρουσεν, ἃς διὰ τῶν ἀτίμων ἐξωμοτῶν τοῦ πατρίου δόγματος τεχνηέντως εἰσηγήσατο τοῖς ἐν τῇ Ἀνατολῇ ὀρθοδόξοις. Ἀλλ' ὅμως ὑπῆρξαν, ὡς φαίνεται, καί τινες ἐξαπατηθέντες, καὶ ἐν καλῇ τῇ πίστει ἀποδεξάμενοι τὴν τοῦ Συμβόλου ἑρμηνείαν διὰ τῆς ὑπεννοήσεως τοῦ ῥήματος "πιστεύω" πρὸ τοῦ Θ' ἄρθρου· εἰς τοῦτο δὲ μάλιστα συνέτειναν οἱ τότε ἐν τῇ Δυτικῇ Εὐρώπῃ ἐκπαιδευόμενοι τὴν θεολογίαν, οἵτινες ἐπανερχόμενοι εἰς τὴν Ἀνατολὴν μετέφεραν καὶ τὴν ἐν πάσῃ τῇ Δύσει ἐπικρατοῦσαν ἡμαρτημένην ταύτην ἑρμηνείαν, ἐν καλῇ τῇ πίστει ἀποδεχόμενοι, ὅτι πρὸ τοῦ Θ' ἄρθρου τοῦ Συμβόλου ἐννοεῖται ἀπὸ κοινοῦ τὸ ῥῆμα "πιστεύω", οὐδαμῶς δὲ παρατηρήσαντες, ὅτι ὑπάρχει οὐσιώδης διαφορὰ τοῦ Ἑλληνικοῦ κειμένου τοῦ Συμβόλου καὶ τῶν ξένων μεταφράσεων, ἐν αἷς προσετίθετο ὁ σύνδεσμος ΚΑΙ, ἀφαιρουμένης τῆς προθέσεως ΕΙΣ. Τοῦτο τοὐλάχιστον ἔχει τις εἰκάσαι ἐκ τῆς Ὁμολογίας τῆς πίστεως, ἣν ἔγραψεν ὁ ἐν Ἀγγλίᾳ καὶ ἐν Γερμανίᾳ ἐκπαιδευθεὶς Μητροφάνης ὁ Κριτόπουλος, ἀν-

Ἐκκλησίας κεφαλήν τε καὶ ἄρχοντα καὶ τῆς πίστεως ὁδηγόν τε καί διδάσκαλον ἡγησάμενοι, σέβεσθέ τε αὐτόν, καὶ ἡγουμένῳ τὴν πρὸς ζωὴν αἰώνιον φέρουσαν ἕπεσθε... Οὐκ· ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω, εἷς βασιλεύς". [99]

"Ἐδόθη ἐν Οὐϊτερβίῳ πρὸ ἓξ Καλανδῶν Ἰουνίων ἔτει ἀπὸ Χριστοῦ ͵αυξγ´ (1463) κ. τ. λ.

Βησαρίων, ἐλέῳ Θεοῦ Καρδινάλις
καὶ Οἰκουμενικὸς Πατριάρχης Κωνσταντινουπόλεως, Νέας Ῥώμης,
οἰκείᾳ χειρὶ ὑπέγραψα."—

Οἱ τελευταῖοι λόγοι τοῦ Ἐκλαμπροτάτου Καρδιναλίου κατ' οὐδὲν τῇ ἀληθείᾳ παραλλάσσουσι τοῦ γελοίου κηρύγματος, δι' οὗ ἡ τετράπηχυς ἐκείνη γυνὴ ἐξηπάτησε τοὺς Ἀθηναίους ἀποδέξασθαι τὸν Πεισίστρατον, ὡς δῆθεν ὑπὸ τῆς Ἀθηνᾶς εἰς αὐτοὺς ἀποστελλόμενον· "Ὦ Ἀθηναῖοι, δέχεσθε ἀγαθῷ νόῳ « Πεισίστρατον, τὸν αὐτὴ ἡ Ἀθηναίη τιμήσασα ἀνθρώ- « πων μάλιστα κατάγει εἰς τὴν ἑαυτῆς ἀκρόπολιν." [1] Ὁ πατὴρ τῆς ἱστορίας θαυμάζει ἐν τῷ ἱστορεῖν τὸ μηχάνημα τοῦτο τοῦ Πεισιστράτου, ὅτι οἱ Ἀθηναῖοι, οἱ πάντων τῶν Ἑλλήνων πρωτεύοντες τὴν σοφίαν,

---

[99] Ὢ τῆς ἀσεβοῦς βεβηλώσεως τοῦ Ὁμηρικοῦ ἔπους!

[1] Ἡροδότου Α', 60.

ἐξηπατήθησαν διὰ τοῦ εὐηθεστάτου ἐκείνου μηχανήματος, καὶ ἀπεδέξαντο τὸν πρότερον ὑπ' αὐτῶν διωχθέντα Πεισίστρατον, ὡς δῆθεν ὑπὸ τῆς Ἀθηνᾶς αὐτῆς εἰς τὸ ἄστυ καταγόμενον· καὶ ἀληθῶς ὁ τοῦ πατρὸς τῆς ἱστορίας θαυμασμὸς λίαν ἐστὶν εὔλογος. Ἀλλὰ πολλῷ μᾶλλόν ἐστι θαυμαστὸν ἐν τῷ προκειμένῳ τοῦ Καρδιναλίου κηρύγματι, ὅτι ἄνθρωποι δεδουλωμένοι, καὶ μυρία πάσχοντες ὑπὸ τὸν Ὀθωμανικὸν ζυγὸν δεινά, οὐχὶ δὲ πάντως ἐπὶ σοφίᾳ θαυμαστοί, ὅσον οἱ πάλαι Ἀθηναῖοι, πανταχοῦ τῆς Ἀνατολῆς κατενόησαν τὸ δόλιον τοῦ κηρύγματος, καὶ οὐ μόνον τότε, ἀλλὰ καὶ εἰς τοὺς μετέπειτα χρόνους, ἀπέκλεισαν τὰ ὦτα αὐτῶν κατὰ τῆς ἀντιχρίστου ἐκείνης διδασκαλίας.

Ἄλλοι διδάσκαλοι, ἄξιοι διάδοχοι τοῦ Τραπεζουντίου καὶ τοῦ Βησσαρίωνος.

Μετὰ τοὺς εἰρημένους δύο ἐξωμότας καὶ ἄλλοι τινὲς τοιοῦτοι τὰ αὐτὰ τῇ γειναμένῃ καὶ θρεψάσῃ ἀνταπέδωκαν αἰσχρὰ τροφεῖα, ζωγρηθέντες οἱ κακοδαίμονες ἐν τῇ μεγάλῃ προσηλυτικῇ σαγήνῃ, ἣν διήπλωσε τότε πανταχοῦ τῆς Ἰταλίας καὶ τῆς Ἀνατολῆς ἡ πολυμήχανος Ῥώμη. Παιδείαν πάντοτε διψῶντες οἱ ταλαίπωροι Ἕλληνες, καὶ οὐ δυνάμενοι ἐκπαιδεύεσθαι ἐν τῇ Ἀνατολῇ, κατέφευγον εἰς τὴν Ἰταλίαν, καὶ μάλιστα εἰς τὴν Ῥώμην, ἔνθα πρὸς ἄγρευσιν τῶν προσερχομένων ἰχθύων οἱ πονηροὶ ἁλιεῖς εὐδαίδαλον διήπλωσαν δίκτυον, συστήσαντες τὸ καλούμενον Ἐκκλησιαστικὸν Ἐκπαιδευτήριον τοῦ ἁγίου Ἀθανασίου, ἐν ᾧ οἱ ἐκπαιδευόμενοι Ἕλληνες ὤφειλον ἀποδέχεσθαι ἐνόρ-

Ἐκκλησίας κεφαλήν τε καὶ ἄρχοντα καὶ τῆς πίστεως ὁδηγόν τε καί διδάσκαλον ἡγησάμενοι, σέβεσθέ τε αὐτόν, καὶ ἡγουμένῳ τὴν πρὸς ζωὴν αἰώνιον φέρουσαν ἕπεσθε... Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω, εἷς βασιλεύς".[90]

"Ἐδόθη ἐν Οὐϊτερβίῳ πρὸ ἓξ Καλανδῶν Ἰουνίων ἔτει ἀπὸ Χριστοῦ ‚αυξγ' (1463) κ.τ.λ.

Βησαρίων, ἐλέῳ Θεοῦ Καρδινάλις καὶ Οἰκουμενικὸς Πατριάρχης Κωνσταντινουπόλεως, Νέας Ῥώμης, οἰκείᾳ χειρὶ ὑπέγραψα."—

Οἱ τελευταῖοι λόγοι τοῦ Ἐκλαμπροτάτου Καρδιναλίου κατ' οὐδὲν τῇ ἀληθείᾳ παραλλάσσουσι τοῦ γε λοίου κηρύγματος, δι' οὗ ἡ τετράπηχυς ἐκείνη γυνὴ ἐξηπάτησε τοὺς Ἀθηναίους ἀποδέξασθαι τὸν Πεισίστρατον, ὡς δῆθεν ὑπὸ τῆς Ἀθηνᾶς εἰς αὐτοὺς ἀποστελλόμενον· "Ὦ Ἀθηναῖοι, δέχεσθε ἀγαθῷ νόῳ « Πεισίστρατον, τὸν αὐτὴ ἡ Ἀθηναίη τιμήσασα ἀνθρώ- « πων μάλιστα κατάγει εἰς τὴν ἑαυτῆς ἀκρόπολιν."[1] Ὁ πατὴρ τῆς ἱστορίας θαυμάζει ἐν τῷ ἱστορεῖν τὸ μηχάνημα τοῦτο τοῦ Πεισιστράτου, ὅτι οἱ Ἀθηναῖοι, οἱ πάντων τῶν Ἑλλήνων πρωτεύοντες τὴν σοφίαν,

---

[90] Ὢ τῆς ἀσεβοῦς βεβηλώσεως τοῦ Ὁμηρικοῦ ἔπους!

[1] Ἡροδότου Α', 60.

ΕΠΙΛΟΓΟΣ.

Ἰδοὺ κατὰ τὴν ἐπιθυμίαν σου, φίλτατε, ἐξέθηκά σοι τοὺς λόγους, δι' οὓς ἄλλως νῦν ἀναγινώσκω καὶ ἑρμηνεύω τὸ Σύμβολον τῆς πίστεως, ἢ ὡς αὐτὸ πρότερον ἀνεγίνωσκον καὶ ἐδίδασκον ἄλλους τε πολλοὺς καὶ δὴ καὶ σὲ καὶ τοὺς φιλτάτους μοι ἀδελφούς σου. Οὔτε Ἐρωστράτειος ἀλαζονεία ὑπηγόρευσέ μοι τὴν ἀνάγνωσιν καὶ ἑρμηνείαν ταύτην, οὔτε παράλογος ἰδιοτροπία, οἵαν ὠνόμασε τὴν ἐπιμονήν μου ὁ ἐν τῇ Σαββατείῳ Ἐπιθεωρήσει τὴν τῆς Ἱστορίας τῆς Ἑλληνικῆς φιλολογίας μετάφρασίν μου ἐπικρίνας (κακῶς ὑπολαβών, ὅτι μετὰ τῶν ἡμετέρων ἤλεγχον καὶ τοὺς εἰς τὰς ἄλλας Χριστιανικὰς Ἐκκλησίας ἀνήκοντας), οὔτε ἀμάθεια τῶν ἁπλουστάτων γραμματικῶν κανόνων, ὡς ἀπεφήνατο περὶ ἐμοῦ ὁ ἐν Λονδίνῳ πολυμαθὴς ἀνταποκριτὴς τῆς "Κλειοῦς", οὔτε τέλος πάντων αὐθάδεια αἱρετικὴ (ἄπαγε!), οἵαν ταύτην ἀπεκάλεσεν ἀπερισκέπτως ὁ Σεβασμιώτατος Ἀρχιεπίσκοπος Σύρου· ἀλλὰ μία καὶ μόνη αἰτία, τὸ πεφιλημένον μοι ἔθος, ὃ καὶ ὑμῖν πολλάκις συνεβούλευσα τιμᾷν, πείθεσθαι τῷ εὖ εἰπόντι· "ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται". Φωτίῳ λοιπὸν πειθόμενος εὖ εἰπόντι (οὐ Φωτίῳ δὲ μόνῳ, ἀλλὰ καὶ πᾶσιν, ὡς εἶδες, τοῖς μεγάλοις

Διδασκάλοις τῆς ὀρθοδοξίας), ἀπέῤῥιψα τὴν ἐν ταῖς Κατηχήσεσιν ἡμῶν διδασκομένην ἑρμηνείαν τοῦ Συμβόλου, ὡς πάντη πάντως ἡμαρτημένην, καὶ ἠσπασάμην ὡς μόνην ὀρθὴν τὴν ὑπὸ τῆς Ἐκκλησίας ἡμῶν διδομένην· τοσούτῳ δὲ προθυμότερον ἠσπασάμην, καὶ διατελέσω ἀσπαζόμενος τὴν ἑρμηνείαν ταύτην, ὅσῳ πέπεισμαι ἐξ ἧς ἐποιησάμην ἐρεύνης, ὅτι ἡ ἀντίχριστος ἐπιβουλή, ἡ τὴν ἡμετέραν Ἐκκλησίαν αἰῶνας ἤδη πολλοὺς παντοίοις τρόποις λυμαινομένη, ἡ ἐπιτηδείως καὶ ἄλλα πολλὰ διασπείρασα ζιζάνια ἐν τῷ καθαρῷ τῆς ὀρθοδοξίας ληΐῳ, καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἐμηχανήσαντο, τοὺς προαιωνίους πόθους αὐτῆς θεραπεύουσα. Ἀλλ' ὅμως ἐναντίαν ἔχουσι περὶ τούτου γνώμην τῶν ἡμετέρων τινές, καὶ μάλιστα οἱ τὸν λόγον τῆς ἀληθείας τοῦ Κυρίου ὀρθοτομεῖν τεταγμένοι· ὅτι δηλαδὴ μόνος ὁ Φώτιος ἑρμηνεύει οὕτω τὸ Σύμβολον, κακῶς ἑρμηνεύων αὐτό, οἱ δ' ἄλλοι πάντες τῆς Ἐκκλησίας Πατέρες ἐννοοῦσιν ἀπὸ κοινοῦ τὸ ῥῆμα "πιστεύω". Ἰδοὺ τί περὶ τούτου ἔγραφέ μοι ἐπανελθὼν εἰς Ἀθήνας ὁ Σεβασμιώτατος Ἀρχιεπίσκοπος Σύρου, ἀποκρινόμενος πρὸς ἐπιστολήν μου, δι' ἧς παρεπονούμην, ὅτι οὐ καθυπέβαλε τῇ Ἱερᾷ Συνόδῳ τῆς Ἐκκλησίας τῆς Ἑλλάδος τὴν περὶ τοῦ πράγματος τούτου αἴτησίν μου, ὅπως ἀποφανθῇ, ὡς ἀνωτάτη Ἐκκλησιαστικὴ Ἀρχή, εἰ ὀρθῶς ἔχει ἡ ὑπ' ἐμοῦ γενομένη ἀνάγνωσις τοῦ Συμβόλου, ἡ τοσοῦτον σκανδαλίσασα τοὺς

ἐν Λονδίνῳ πιστούς, καὶ πάντων μάλιστα τὸν καλὸν ἀναγνώστην τῆς Ἐκκλησίας αὐτῶν, καὶ αὐτὸν δὴ τὸν Σεβασμιώτατον Ἀρχιεπίσκοπον. "...Ὅσον δὲ περὶ « τῆς λύσεως τοῦ ὑμετέρου ζητήματος, ἡ βραδύτης « προῆλθεν ἔνθεν μὲν διότι καὶ ἐγὼ ἐβράδυνα νὰ ἔλθω « ἐνταῦθα ἔνθεν δὲ διότι ἐπὶ τοῦ παρόντος ἀποδημεῖ ὅ « τε πρόεδρος τῆς Συνόδου περιοδεύων καὶ ὁ ἅγιος « Καλαβρύτων μένων ἐκ Κύθνῳ διὰ τὰ λουτρά. Μὴ « ἀμφιβάλλετε δὲ ὅτι ἅμα τῇ ἐπανόδῳ αὐτῶν, θέλω « φροντίσει τὰ δέοντα. Ἀλλ' ἀπὸ τοῦδε, φίλτατε, « λέγω ὑμῖν ὅτι ἡ λύσις οὐκ ἔσται εὐάρεστος τῇ ὑμε- « τέρᾳ ἐλλογιμότητι οὐ μόνον διότι ἡ Ἐκκλησία οὐδέ- « ποτε θέλει ἀνεχθῇ νὰ καθιερώσῃ καινοτομίαν τινα « περὶ τὴν τοῦ συμβόλου ἀπαγγελίαν, ὑπείκουσα εἰς « τὸ κῦρος ἑ ν ὸ ς μ ό ν ο υ Π α τ ρ ὸ ς τ ο ῦ Φ ω τ ί ο υ, « ἀλλὰ καὶ διότι μαρτυρία τις τοῦ Κυρίλλου Ἱεροσο- « λύμων ἐν ταῖς Κατηχήσεσιν αὐτοῦ ἀντίκειται ὅλως « κατὰ τῆς ὑμετέρας ἐνστάσεως. Ἐν τῇ μαρτυρίᾳ « ταύτῃ τὸ 'καὶ εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστο- « λικὴν Ἐκκλησίαν' φέρεται μετὰ τὸ ὁμολογῶ 'ἓν βά- « πτισμα εἰς ἄφεσιν ἁμαρτιῶν' καὶ 'προσδοκῶ ἀνά- « στασιν νεκρῶν'. Ἀλλὰ καὶ τούτου οὕτως ἔχοντος, « οἱ ἐμπαθῶς ἐπιτιθέμενοι καθ' ὑμῶν οὐδόλως θέλου- « σι δικαιωθῇ διὰ τοῦτο, οὐδὲ θέλουσι ψάλλει ἐπινίκια, « διότι ὑμεῖς π ε ρ ι ε π έ σ α τ ε ε ἰ ς τ ὸ σ φ ά λ μ α « τ ο ῦ τ ο, σ τ η ρ ι χ θ έ ν τ ε ς ε ἰ ς τ ὴ ν μ α ρ τ υ-

« ρίαν μεγάλου τῆς Ἐκκλησίας ἀνδρὸς[6]
« τοῦ ἱερωτάτου Φωτίου. Ἐν τούτοις κατ-
« ασπάζομαι ὑμᾶς, κ. τ. λ."

† Ὁ Σύρου καὶ Τήνου Ἀλέξανδρος.

---

[6] Γραπτέον, νομίζω, κατὰ τὴν Ἐκκλησιαστικὴν γλῶσσαν, καὶ μάλιστα ὅταν ὁ γράφων τυγχάνῃ ὢν Ἀρχιερεύς, "τοῦ μεγάλου τῆς Ἐκκλησίας Πατρός", ἤ, "τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Φωτίου". Ἴσως πλανῶμαι, ἅτε ξένως ἔχων τῆς λεγομένης Ἐκκλησιαστικῆς γλώσσης, καὶ οὔτε θεολόγος ὤν, οὔτε ὅλως κληρικός· ἀλλ' ἐν τῇ Ἐκκλησιαστικῇ ἀπαιδευσίᾳ μου εὑρίσκω ταπεινὴν τὴν φράσιν καὶ λίαν ἀπρεπῆ διὰ τὸν ἑξῆς ἁπλούστατον λόγον· Τὸν Φώτιον ἡ Ἐκκλησία ἐν τοῖς ἁγίοις κατέταξε, καὶ ναοὶ ἐν τῷ ὀνόματι αὐτοῦ τιμώμενοι ἠγέρθησαν πανταχοῦ τῆς Ἀνατολῆς, καὶ δὶς τοῦ ἔτους ἡ μνήμη αὐτοῦ ἑορτάζεται. Ἐὰν λοιπὸν ὁ Σεβασμιώτατος Ἀρχιεπίσκοπος Σύρου προσκληθῇ ἱερουργῆσαι ἐν τῇ ἡμέρᾳ τῆς τοῦ ἀνδρὸς τούτου μνήμης, ἐν πάσῃ ἐπισημότητι ἀνυμνήσει ὁ ἅγιος Σύρου τὸν ἄνδρα, ψάλλων μετὰ τῶν συλλειτουργούντων Πρεσβυτέρων καὶ Διακόνων τὸ ἑξῆς Ἀπολυτίκιον τῆς ἑορτῆς εἰς ἦχον Δ'. "Ὡς τῶν Ἀποστόλων ὁμότροπος καὶ τῆς « οἰκουμένης διδάσκαλος, τῷ Δεσπότῃ τῶν ὅλων ἱκέτευε, Φώτιε, εἰρήνην τῇ « οἰκουμένῃ δωρήσασθαι καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος." Ἀλλὰ καὶ τὸ μετὰ τὴν ἀνάγνωσιν τοῦ Ν' Ψαλμοῦ ἀργῶς καὶ μετὰ μέλους ψαλλόμενον ἰδιόμελον εἰς ἦχον πλ. Β' εὐχαρίστως ἀκούσεται. "Ἐξεχύθη ἡ χά- « ρις ἐν χείλεσί Σου, Ὅσιε Πάτερ, καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ « Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα πιστεύειν εἰς Τριάδα ὁμο- « ούσιον ἐν μιᾷ θεότητι." Τοῦτ' αὐτὸ ποιήσουσι βεβαίως καὶ πάντες οἱ τῆς ὀρθοδόξου Ἐκκλησίας λειτουργοί, τιμῶντες τὴν μνήμην τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Φωτίου. Καὶ λοιπόν, ἐν μὲν τῇ Ἐκκλησίᾳ ἀνυμνήσουσι τὸν Φώτιον ὡς ἅγιον οἱ ἅγιοι· ἐκτὸς δὲ τῆς Ἐκκλησίας καὶ ἐν ταῖς ἐπιστολαῖς αὐτῶν ἀπαξιώσουσιν ἰσότιμον ἔχειν τὸν ἀνυμνηθέντα ἅγιον, καὶ ἀποκαλέσουσιν αὐτὸν μέγαν ἄνδρα; καὶ ἐν μὲν τῇ Ἐκκλησίᾳ ἀνέξονται τῆς διδασκαλίας τοῦ Φωτίου, διδάσκοντος τὰ λογικὰ πρόβατα πιστεύειν εἰς Τριάδα ὁμοούσιον· ἐκτὸς δὲ τῆς Ἐκκλησίας καταφρονήσουσι τῆς διδασκαλίας ταύτης, εἰς Τετράδα διδάσκοντες πιστεύειν ἀντὶ τῆς ὑπ' ἐκείνου διδασκομένης Τριάδος; Θαυμαστὰ δὴ ταῦτα, καὶ μάλιστα παρὰ τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Σύρου γινόμενα.

Κατὰ δὴ τὴν ἐπιστολὴν ταύτην ἀνδρὸς τὰ πρῶτα φέροντος ἐν τοῖς παρ' ἡμῖν θεολόγοις, ὥς τινες νομίζουσι, καὶ ἀνώτατον Ἐκκλησιαστικὸν βαθμόν, μέλους δὲ ὄντος τῆς Ἱερᾶς Συνόδου, ὅτε ταῦτα ἔγραφεν, ἡ ἡμετέρα Ἐκκλησία νομίζει καινοτομίαν τὸ ἀπαγγέλλειν τὸ Σύμβολον κατὰ τὴν ἑρμηνείαν τοῦ Φωτίου, ὡς τούτου μόνου τὴν τοιαύτην διδόντος ἑρμηνείαν, τῶν δ' ἄλλων ἁπάντων τῆς Ἐκκλησίας Πατέρων διδασκόντων πιστεύειν καὶ εἰς τὴν Ἐκκλησίαν, καὶ πάντων μάλιστα Κυρίλλου τοῦ Ἱεροσολύμων ἐν ταῖς Κατηχήσεσιν αὐτοῦ. Ἀλλ' ὡς ἐν τοῖς ἔμπροσθεν δι' αὐτῶν τῶν Πρακτικῶν τῶν Συνόδων καὶ ἐξ αὐτῶν τῶν συγγραμμάτων τῶν Πατέρων τρανῶς ἀπεδείξαμεν, οὐδεὶς ἄλλος τῶν ἀρχαίων τοῦτο διδάσκει, ἢ ὁ Ἄρειος καὶ ὁ Νεστόριος, καὶ ἐκ τῶν νεωτέρων ὁ τοῦ Πάπα Νικολάου Ε' γραμματεὺς Γεώργιος ὁ Τραπεζούντιος, καὶ μετὰ τοῦτον ὁ Ἀρκούδιος, ὁ Ἀλλάτιος, ὁ Παππαδόπουλος, ὁ Fleury, ὁ De-Maistre, καὶ τὸ σμῆνος τῶν ἀνὰ πᾶσαν τὴν Ἀνατολὴν μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως διασπαρέντων Καπουσίνων καὶ Ἰησουϊτῶν, "τῶν περιαγόντων τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον." Οὗτοι λοιπὸν εἰσιν οἱ Πατέρες οἱ ἅγιοι(!!!), οἷς ἑπομένη ἡ Ἐκκλησία ἡμῶν ἡ ὀρθόδοξος "οὐδέποτε θέλει ἀνεχθῆ νὰ καθιερώσῃ καινοτομίαν τινὰ περὶ τὴν τοῦ Συμβόλου ἀπαγγελίαν." Ὁ δὲ μέγας τῆς Ἐκκλησίας

ἀ ν ή ρ, ὁ σχισματικὸς Φώτιος, ἁμαρτάνει, καὶ ἐγὼ μετὰ τοῦ μεγάλου τούτου ἀ ν δ ρ ὸ ς ἐξετραχηλίσθην ὁ ἄθλιος εἰς τὸ ἁμάρτημα, εἰς τὴν αἵρεσιν! Ἀλλ' ὅμως ἐγὼ ἐν τῇ ἐρωτήσει, ἣν ἔπεμψα πρὸς τὴν Ἱερὰν Σύνοδον δι' αὐτοῦ τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Σύρου, μέλους ὄντος αὐτῆς, οὔτε καινοτομίαν ἐζήτησα παρ' αὐτῆς εἰσαγαγεῖν εἰς τὴν Ἐκκλησίαν ἐν τῇ τοῦ Συμβόλου ἀναγνώσει, οὔτε ἄλλο τι πρᾶξαι κατ' ἐμὴν εἰσήγησιν. Ἀλλ' ἐπειδὴ ἡ ὑπ' ἐμοῦ γενομένη ἀνάγνωσις τοῦ Συμβόλου ἐν τῇ ἀκραδάντῳ πεποιθήσει, ὅτι τοιαύτη ἐστὶν ἡ ὑπὸ τῆς Ἐκκλησίας δεδομένη ἑρμηνεία αὐτοῦ, ἐσκανδάλισε παρ' ἐλπίδα πᾶσαν τούς τε ἄλλους πιστούς, καὶ δὴ καὶ αὐτὸν τὸν Σεβασμιώτατον Ἀρχιεπίσκοπον Σύρου σὺν τῷ καλῷ ἀναγνώστῃ τῆς ἐν Λονδίνῳ Ἐκκλησίας τῶν ὀρθοδόξων, καὶ πολλὰ κατ' ἐμοῦ ἐλέχθησαν ἰδίᾳ τε καὶ δημοσίᾳ, ὡς λυμαινομένου τὸ Σύμβολον τῆς πίστεως, οὐκ ἀνεχόμενος τὴν ἀπαίσιον καὶ ἄδικον ταύτην ὕβριν, ὑπέβαλον τὴν περὶ τούτου κρίσιν εἰς τὴν Ἱερὰν Σύνοδον, ὑπ' αὐτοῦ τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου προτραπείς, μέλους ὄντος τότε τῆς Ἱερᾶς Συνόδου, καὶ ἁπλῶς ἠρώτησα τὴν ἀνωτάτην Ἐκκλησιαστικὴν Ἀρχήν, εἰ ὀρθῶς ἐννοῶ καὶ ἀναγινώσκω τὸ Σύμβολον τῆς πίστεως, οὕτω κατὰ Φώτιον ἐννοῶν καὶ ἀναγινώσκων αὐτό. Ταῦτα μὲν ἐγὼ ἔπραξα ὀρθῶς καὶ προσηκόντως, ἀναθεὶς τὴν περὶ τοῦ πράγματος κρίσιν τῇ ἀνω-

τάτῃ ἡμῶν Ἐκκλησιαστικῇ Ἀρχῇ, καὶ τὴν ταύτης ἀπεκδεχόμενος ἀπόφασιν, πρόθυμος ὢν ὑπακοῦσαι αὐτῇ, εἴπερ ὑπὸ ἰδίαν αὐτῆς εὐθύνην ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων ἐκέλευέ μοι ἄλλως ἑρμηνεύειν καὶ ἀναγινώσκειν τὸ Σύμβολον. Ἀλλ' ἡ Ἱερὰ Σύνοδος οὐδὲν ἀπεκρίνατο πρὸς τὸ ἐρωτώμενον, κακῶς καὶ παρὰ τὸ καθῆκον αὐτῆς πράττουσα, πλὴν ἐὰν ὑποτεθῇ (ὅπερ ἀδύνατον), ὅτι ὁ Σεβασμιώτατος Ἀρχιεπίσκοπος Σύρου οὐ καθυπέβαλεν αὐτῇ τὴν αἴτησίν μου, καθ' ἃ προφορικῶς καὶ ἐγγράφως ὑπέσχετό μοι. Τεθέντος λοιπόν, ὅτι ὑπεβλήθη τῇ Ἱερᾷ Συνόδῳ ἡ αἴτησίς μου, χρέος εἶχεν ἡ ἀνωτάτη αὕτη Ἐκκλησιαστικὴ Ἀρχὴ ἀποκριθῆναι πρὸς τὸ ἐρωτώμενον, καὶ ἤτοι ἀπαλλάξαι με τῆς δεινῆς κατηγορίας, ἢ κατακρῖναι ὡς ἡμαρτημένην τὴν Φωτίου ἑρμηνείαν, καὶ ἐμὲ τὸν ὑπὸ τοῦ μεγάλου τούτου τῆς Ἐκκλησίας ἀ ν δ ρ ὸ ς παρασυρθέντα εἰς τὸ ἁμάρτημα καὶ τὴν αἵρεσιν. Ἐν τῷ διλήμματι τούτῳ, οὐδὲν διαφέροντι τοῦ—"Εἰ κακῶς ἐλάλησα, μαρτύρησον ὑπὲρ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;"—εὑρεθεῖσα, ὡς φαίνεται, ἡ Ἱερὰ Σύνοδος, προὐτίμησε σιωπῆσαι· καὶ μέχρι νῦν σιωπᾷ, τὸ μὲν πρῶτον οὐ βουλομένη ποιῆσαι, τὸ δὲ δεύτερον οὐ τολμῶσα.

Ἀλλ' ἡ τοιαύτη σιωπὴ τῆς Ἱερᾶς Συνόδου φανερά ἐστι παράβασις τῶν ἱερῶν αὐτῆς καθηκόντων, ὡς ἀνωτάτης Ἐκκλησιαστικῆς Ἀρχῆς, τεταγμένης ὀρθο-

τομεῖν τὸν λόγον τῆς τοῦ Κυρίου ἀληθείας. Οὐ γὰρ μόνον ἡ Ἐκκλησία αὐτὴ ἐπιτάσσει τῇ Ἱερᾷ Συνόδῳ ἐκδιδάσκειν τὸν Νόμον τοὺς ἀπὸ στόματος αὐτῆς ζητοῦντας διδασκαλίαν, ἀλλὰ καὶ αὐτὸς ὁ πολιτικὸς νόμος, δι' οὗ κατέστη ἐν Ἑλλάδι ἀνωτάτη Ἐκκλησιαστικὴ Ἀρχή, καταριθμῶν ἐν τῷ Η' ἄρθρῳ τὰ ἐσωτερικὰ αὐτῆς καθήκοντα, πρώτιστον πάντων ὀνομάζει "τὴν περὶ τῶν δογμάτων ΠΙΣΤΗΝ καὶ ΟΡΘΗΝ διδασκαλίαν". Ἐν δὲ τῷ Θ' ἄρθρῳ διατάσσει τάδε. "Ἡ Ἱερὰ « Σύνοδος ἐπαγρυπνεῖ·—ά) εἰς τὴν ἀκριβῆ διατήρησιν « τῶν παρὰ τῆς ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας « πρεσβευομένων θείων δογμάτων· καὶ ὅταν πληρο- « φορηθῇ θετικῶς, ὅτι ὁποιοσδήποτε ἄνθρωπος « ἐπιχειρεῖ νὰ ταράξῃ τὴν Ἐκκλησίαν τοῦ βασιλείου « δι' ἑτεροδιδασκαλίας ἢ διδαχῆς προφορικῆς ἢ γρα- « πτῆς, διὰ προσηλυτισμοῦ ἢ κατ' ἄλλον τινὰ τρόπον, « ἡ Σύνοδος ζητεῖ τὴν παῦσιν τοῦ κακοῦ διὰ τῆς πολι- « τικῆς Ἀρχῆς, καὶ τῇ ταύτης ἐγκρίσει ἐκδίδει συμ- « βουλευτικὰ ἔγγραφα πρὸς τὸν λαόν, εἰς ἀποφυγὴν « τῆς ἐκ τῶν τοιούτων προσγινομένης θρησκευτικῆς « βλάβης"· κ. τ. λ., κ. τ. λ.[7] Ἐὰν λοιπὸν ὑποτεθῇ ὅτι ἐγὼ ἀναγνοὺς ἐν τῇ Ἐκκλησίᾳ (παρόντος μάλιστα καὶ ἱερουργοῦντος ἑνὸς τῶν μελῶν τῆς Ἱερᾶς Συνόδου)

---

[7] Ἴδε τὸν καταστατικὸν Νόμον τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος ἐν τῇ ὑπὸ τοῦ Κυρίου Π. Ι. Κλάδου ἐκδοθείσῃ Συλλογῇ ὑπὸ τὴν ἐπιγραφὴν "Ἐκκλησιαστικὰ καὶ Ἐκπαιδευτικά," σελ. 110 κ. ἑξ.

τὸ Σύμβολον τῆς πίστεως κατὰ τὴν τοῦ Φωτίου ἑρμηνείαν "ἐπεχείρησα ταράξαι τὴν Ἐκκλησίαν δι' ἑτεροδιδασκαλίας", καθῆκον εἶχεν ἡ Ἱερὰ Σύνοδος ῥητὸν "ζητῆσαι τὴν παῦσιν τοῦ κακοῦ διὰ τῆς πολιτικῆς Ἀρχῆς, καὶ τῇ ταύτης ἐγκρίσει ἐκδοῦναι συμβουλευτικὰ ἔγγραφα πρὸς τὸν λαόν", κ. τ. λ., κατὰ τὴν ῥητὴν τοῦ Νόμου διάταξιν· εἰ δὲ μή, πάλιν εἶχε καθῆκον, ἐρωτηθεῖσα ἐγγράφως ὑφ' ἑνὸς τῶν τέκνων τῆς Ἐκκλησίας, καὶ ταῦτα διδασκάλου, πολλάκις πρὸς τοῖς ἄλλοις καὶ τὴν Κατήχησιν διδάσκοντος τὰ τέκνα τῶν ὀρθοδόξων, ἀποκριθῆναι πρὸς τὸ ἐρωτώμενον, καὶ ἤτοι καταδικάσαι τὸν ἐρωτῶντα, ἢ ἀπαλλάξαι αὐτὸν τοῦ δεινοῦ ὀνειδισμοῦ, ὅτι λυμαίνεται τὸ Σύμβολον τῆς πίστεως.[8]

---

[8] Ἀνέγνων πρὸ μικροῦ ἔν τινι τῶν Ἑλληνικῶν ἐφημερίδων μακρὰν διατριβὴν περὶ Ἐκκλησιαστικοῦ ζητήματος, ὑποβληθέντος τῇ Ἱερᾷ Συνόδῳ τῆς Ἐκκλησίας τῆς Ἑλλάδος παρὰ τοῦ Σεβασμιωτάτου Ἀρχιεπισκόπου Σύρου, καὶ λυθέντος ὑπ' αὐτῆς· ἦν δὲ τοιοῦτο τὸ ζητούμενον—"πότερον ὁ Πρωτοσύγκελος καὶ ὁ Ἀρχιμανδρίτης προηγηθήσονται τοῦ Οἰκονόμου ἐν ταῖς Ἐκκλησιαστικαῖς τελεταῖς, ἢ τὸ ἀνάπαλιν;" Οὐδεὶς ἀγνοεῖ, ὅτι Πρωτοσύγκελοι καὶ Ἀρχιμανδρῖται καὶ Οἰκονόμοι πρὸ αἰώνων ὑπάρχουσιν ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, καὶ ὅτι οἱ ἀξιωματικοὶ οὗτοι κληρικοὶ ἔχουσι παρά τε τῷ Ἐπισκόπῳ καὶ ἐν ταῖς Ἐκκλησιαστικαῖς τελεταῖς ὡρισμένην τάξιν καὶ ὡρισμένα ἔργα ἕκαστος· θαυμαστὸν δὲ ὡς ἀληθῶς, ὅτι οἱ νῦν λογάδες τῶν ἡμετέρων Ἀρχιερέων ζήτημα προβάλλονται τό, ποῦ στήσονται, καὶ πῶς εἰσελεύσονται καὶ ἐξελεύσονται ἱερουργοῦντες, ἢ ἄλλως παριστάμενοι ἐν ταῖς τελεταῖς, καὶ ὅτι τὸ ζήτημα τοῦτο τήν τε Ἱερὰν Σύνοδον τῆς Ἐκκλησίας τῆς Ἑλλάδος καὶ τὴν δημοσιογραφίαν οὐκ ὀλίγον ἐπησχόλησεν· Ἀλλ' ὑπομονή· ζητητέον καὶ τοῦτο, καὶ εἴ τι ἄλλο τοιοῦτον, ἡ δ ύ ο σ μ ο ν

Ἐπειδὴ δὲ οὐδέτερον τούτων ἔπραξεν ἡ Ἱερὰ Σύνοδος, οὐκ ἀνεχόμενος ἐγὼ τὸν ἄδικον ὀνειδισμόν, καὶ πεποιθὼς εἰς τὴν ὀρθότητα τῆς ὑπ' ἐμοῦ γενομένης ἀναγνώσεως, ὡς ὑπὸ τῆς Ἐκκλησίας αὐτῆς κεκυρωμένης, ὑποβάλλω τὴν περὶ τούτου κρίσιν εἰς τὸ μέγα δικαστήριον σύμπαντος τοῦ ὀρθοδόξου πληρώματος τῆς ἡμετέρας Ἐκκλησίας, τάς τε θείας Γραφὰς καὶ τὰς οἰκουμενικὰς Συνόδους καὶ πάντας τοὺς Πατέρας προβαλλόμενος μάρτυρας, καὶ ἐπιλέγων τοῦτο δὴ τὸ τοῦ μεγάλου Βασιλείου· "Οὐκοῦν ἡ θεόπνευστος «ἡμῖν διαιτησάτω Γραφή· καὶ παρ' οἷς «ἂν εὑρεθῇ τὰ δόγματα συνῳδὰ τοῖς «θείοις λόγοις, ἐπὶ τούτους ἥξει πάν«τως τῆς ἀληθείας ἡ ψῆφος".

Καὶ νῦν ἐν τέλει τοῦ λόγου γενόμενος, ἐλπίζω μέν, ὅτι ἀπέπλυνα ἀπ' ἐμαυτοῦ τὸν ῥύπον τῆς ἀπαισίου ἐπωνυμίας, ἣν ἀπέδωκέ μοι ἀπερισκέπτως ὁ Σεβασμιώτατος Ἀρχιεπίσκοπος Σύρου, ἀποχρώντως διὰ πραγμάτων ἀποδείξας, ὅτι οὐδὲ κεραίαν ἀπεπλανήθην (μή μοι τηλικοῦτον κακὸν ἐν γήρᾳ γένοιτο!) τῆς ὑγιαινούσης διδασκαλίας· ὀφείλω δὲ ὁμολογῆσαι, ὅτι ὑπέπεσον εἰς

καὶ ἄνηθον καὶ κύμινον, ἐπειδὴ ζητήσιμον νομίζεται· οὐ παροπτέον δὲ ὅμως καὶ τὰ βαρύτερα τοῦ Νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν ΠΙΣΤΙΝ. Εἰ δὲ μή, εὐλόγως ἐπιφωνήσει τις τῇ Ἱερᾷ Συνόδῳ, εἰ μὴ τοὺς ἄλλους τοῦ Σωτῆρος ἡμῶν λόγους διὰ σέβας πρὸς τὴν ἀνωτάτην Ἐκκλησιαστικὴν Ἀρχήν, τὰς τελευταίας τοὐλάχιστον λέξεις τοῦ φρικτοῦ ἐκείνου ταλανισμοῦ· "καὶ τοῦτο ἔδει ποιῆσαι, κἀκεῖνο μὴ ἀφιέναι".

ἄλλο ἁμάρτημα, τὸ καταπατῆσαι τοὺς ὅρους τῆς ἐπιστολογραφίας, πραγματείαν ἀντὶ ἐπιστολῆς γράψας, εἰ καὶ προεθέμην ἐξ ἀρχῆς συντόμως σοι πρὸς τὸ ἐρωτώμενον ἀποκρίνασθαι. Ἀλλὰ καὶ τὸ πρᾶγμα αὐτό, τοιοῦτον ὄν, διὰ μακρῶν ἀπήτει τὴν τῆς ἀληθείας ἀπόδειξιν (ἐν γὰρ τοῖς τοιούτοις οὐ δογματίζειν καὶ ἀποφθέγγεσθαι, ἀλλ' ἀποδεικνύναι ὀφείλει ὁ γράφων ἢ λέγων), καὶ ἡ ἐπιθυμία τοῦ μηδεμίαν ὑμῖν καταλιπεῖν ἀμφιβολίαν περὶ τῆς ἀληθείας ταύτης ἠνάγκασάν με μακρολογῆσαι. "Ἐγὼ γὰρ ἤδη σπένδομαι (κατὰ Παῦλον εἰπεῖν), καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν"· εἰ δὲ καὶ μὴ ἐφέστηκε (τίς οἶδεν;), ἀλλ' οὖν γε καὶ φύσει διὰ τὸ ἐπελθὸν γῆρας, καὶ θέσει διὰ τὴν ἀνάγκην τοῦ κατὰ τὸν αὐτὸν Παῦλον "μὴ ἐσθίειν ἀργόν", ἐπὶ μᾶλλον καὶ μᾶλλον ἐφίσταται. Ὑμῖν δέ, καὶ ὅταν ἐγὼ ἀπέλθω ἀφ' ὑμῶν, καταλελείφθω ἥδε ἡ ἐπιστολὴ τῆς τ' ἐμῆς ἀγάπης μνημόσυνον καὶ τῆς ὑπὲρ ὑμῶν προθυμίας μαρτύριον.

Περὶ μὲν οὖν τοῦ ἐν τῇ ἐπιστολῇ σου ζητουμένου ἅλις εἴρηται, φίλτατέ μοι Νικόλαε. Εἰρήσθω δέ νῦν καὶ τὸ πάντων ἔμοιγε σπουδαιότατον. Τὸ ποῖον τοῦτο; Ὅτι ἐκ μέσης ψυχῆς εὔχομαί σοι καὶ τοῖς φιλτάτοις μοι ἀδελφοῖς σου ὑγιαίνειν τε καὶ εὐημερεῖν, τοῦτ' αὐτὸ ὑμῖν ἐπιλέγων, ὃ καὶ ὁ θεῖος Παῦλος ἔγραφε τοῖς ἐν Κορίνθῳ πνευματικοῖς αὐτοῦ τέκνοις· Χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ

αὐτὸ φρονεῖτε, εἰρηνεύετε· καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν. Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μεθ' ὑμῶν, βοηθὸς ἐν πᾶσι καὶ ἀντιλήπτωρ.

Ὁ πατὴρ ὑμῶν

ἸΩ. Ν. ΒΑΛΕΤΤΑΣ.

Ἐν Λονδίνῳ,

Τῇ [illegible] Σεπτεμβρίου 1871.

ΕΝ ΛΟΝΔΙΝΩι,
ΤΥΠΟΙΣ CLAYTON & CO., TEMPLE WORKS, 17, BOUVERIE STREET,
WHITEFRIARS, E.C.